Auch in einem Briefe des Johannes von Naupaktos an den Bischof von Joannina (vgl. unten Nr. 6) ist vom Exarchen die Rede. Johannes, der damals bereits sein bischöfliches Amt niedergelegt und die Kutte genommen hatte, beklagt sich über den Exarchen, der ihn brieflich mit Beleidigungen überhäuft habe, und bittet um die Vermittelung des Adressaten, da dieser beim Exarchen in besonderer Gunst stehe.

Das aggressive Vorgehen des Exarchen entspricht nicht recht der vom Patriarchen an ihm gerühmten Herzenseinfalt und Gutmütigkeit, geht aber wahrscheinlich auf die ihm erteilten Instruktionen zurück. Es scheint nämlich, daß Germanos II trotz der reuigen (freilich durch politische Umstände veranlaßten) Unterwerfung des westlichen Klerus damals durchaus nicht gewillt war, alles das zu verzeihen und zu vergessen, wodurch während des Schismas die Führer dieser Partei (Demetrios Chomatianos von Bulgarien, Johannes von Naupaktos, Georgios von Kerkyra) gegen seine Oberhoheit in Wort und Tat gesündigt hatten (es sei nur an ihre eigenmächtige Salbung des Despoten Theodoros zum Gegenkaiser erinnert). Für diese Vermutung gibt ein (undatiertes) Schreiben des Demetrios Chomatianos an den Patriarchen und seine Synode, das M. Drinov (Viz. Vrem. 2, 1895, S. 14) wohl mit Recht zu der Mission des Christophoros von Ankyra in Beziehung gesetzt hat, einen klaren Beweis. Dies Schreiben (Nr. 150 bei Pitra) ist eine für den Bischof von Serbia in Thessalien (und auch im eigenen Interesse) verfaßte Verteidigung, welche die unkanonische, im J. 1223 vollzogene Ordination des genannten Bischofs durch Chomatianos statt durch den zuständigen, aber damals von den Lateinern vertriebenen Erzbischof von Thessalonich als durch die damalige Notlage hervorgerufen rechtfertigt. Christophoros hatte also offenbar den Auftrag erhalten, diese ein Dezennium zurückliegende Handlungsweise des Demetrios jetzt noch nachträglich vor sein Forum zu ziehen.

Auch ein anderes Schreiben des Demetrios Chomatianos (Nr. 106

bei Pitra) gibt wahrscheinlich, wie Drinov (S. 17 Anm. 3) nachgewiesen hat, Zeugnis von der Wirksamkeit des Exarchen Christophoros. Hier ist von einem zu Anfang des J. 1233 bloß designierten, im Frühling des J. 1234 unterdes ordinierten Erzbischof von Thessalonich mit Namen Joseph[1]) die Rede, und die Vermutung liegt nahe, daß eben der Metropolit von Ankyra ihn zu diesem Amte geweiht habe.

Die bisher besprochenen Dokumente enthalten, wie wir sahen, neue wichtige Aufschlüsse über die Zeit der Ankunft des Exarchen Christophoros im europäischen Griechenland (1233), über den Zweck seiner Mission, über die Art ihrer Ausführung und über die Regelung einzelner durch seinen dortigen Aufenthalt hervorgerufenen Spezialfragen. Ungewiß aber bleibt leider, wie lange der Exarch sich in den Besitzungen Manuels aufgehalten hat.

Das letzte der von Vasiljevskij aufgefundenen Dokumente (vgl. unten Nr. 7) führt uns nach Bulgarien, auf dessen politische und kirchliche Zustände zu dieser Zeit dadurch ein unerwartetes, obschon nicht alles völlig aufklärendes Licht fällt. Das Dokument trägt zwar nur die ganz unbestimmte Aufschrift: *πρὸς τὸν βασιλέα*, aber nach den in ihm vorkommenden Andeutungen läßt es sich mit Sicherheit an richtiger Stelle unterbringen. Der Schreiber des Briefs wünscht dem Kaiser Gesundheit und sonstiges Wohlergehen. Dasselbe lasse ihm auch der Patriarch sowie die ganze Synode wünschen, weil er ein echter Sohn der hl. apostolischen Kirche geworden sei und das früher Getrennte wieder glücklich vereinigt und in Zagora eine höchst rechtgläubige Tat ausgeführt habe, die keinem seiner Vorgänger gelungen sei. Deshalb habe ihn auch Gott erhöht und seine Frömmigkeit belohnt. Wenn er auf diesem Wege fortfahre, werde Gott ihm langes Leben schenken und die Grenzen seines Erblandes weithin ausbreiten. Der Absender des Schreibens habe, als er im Lande des vielgeliebten Schwiegersohnes seiner kaiserlichen Hoheit angekommen sei, dem Adressaten sofort seine Ankunft melden wollen; denn er sei als Exarch und Stellvertreter des ökumenischen Patriarchen in den Westen abgesandt, um hier alles, was dem Patriarchenstuhle unterstehe, zu entscheiden und zu besorgen. Als er auf dem Athos den Erzbischof von Trnovo angetroffen habe, sei es seine Absicht gewesen, dem Kaiser zu melden, was er mit jenem dort verhandelt habe, aber weltliche Wirren hätten ihn daran verhindert. Er habe den genannten Erzbischof veranlassen wollen, zu seiner Kirche

---

1) Der Erzbischof Joseph ist von L. Petit in seiner Liste der Bischöfe von Thessalonich (Echos d'Orient V, 1901, S. 31) übergangen, ebenso wie der von Vasiljevskij (Journal, Bd. 238, Aprilheft S. 215) aus einem Briefe des Johannes von Naupaktos (cod. Petropol. 250, fol. 52^{v}) nachgewiesene Nikolaos.

zurückzukehren; jener aber habe Ausflüchte gemacht, denen er keinen Glauben schenken wolle, bevor er dem Kaiser geschrieben habe. Von anderer Seite habe er erfahren, daß der Genannte von seinem Amt zurückgetreten sei. Für das also verwaiste Trnovo müsse demnach ein neuer Erzbischof erwählt werden. Wenn nun der Kaiser bereit sei, seinen Kandidaten behufs Empfang der Weihen nach Nikaia zu senden, so sei Gott und der gottesfürchtige Entschluß des Kaisers gepriesen. Falls aber weltliche Hindernisse dem im Wege stünden, so möge der von dem Kaiser und den zur Diözese gehörigen Bischöfen Erwählte zu ihm geschickt werden, und er werde ihm in kanonischer und unanfechtbarer Weise die Ordination erteilen. Eine von diesen beiden Möglichkeiten läge als zulässig vor. Ein Drittes, daß etwa die Wähler des neuen Erzbischofs ihn auch zu seinem Amte ordinierten, möge dem Kaiser durchaus nicht in den Sinn kommen; dadurch würde er den mit der Kirche geschlossenen Vertrag verletzen, was Gott nicht ungestraft lassen könne. Aber er sei überzeugt, daß der Kaiser seine Mahnung befolgen wolle, wofür Gott ihn mit langem Leben und mit der Erfüllung aller Wünsche belohnen werde.

Nach den Andeutungen, die das Schreiben enthält, unterliegt es keinem Zweifel, daß sein Absender der uns schon bekannte Exarch und Metropolit von Ankyra ist, sein Empfänger aber der Zar von Bulgarien (Zagora) Joann Asan II (1218—1241), der Schwiegervater des Despoten Manuel. Ferner ergibt es sich, daß dem Schreiben Verhandlungen mit dem Patriarchen von Nikaia über eine Wiederanerkennung seiner Oberhoheit seitens der bulgarischen Kirche vorhergegangen sind und mit vollem Erfolg gekrönt wurden (1232), so daß der Exarch in Bulgarien eine ganz analoge Aufgabe zu erfüllen hatte, wie in Epirus. Um zu erklären, wodurch Asan II nebst der bulgarischen Kirche zu dieser bedeutsamen Änderung der bisher festgehaltenen Politik veranlaßt wurde, müssen wir etwas weiter zurückgreifen.

Im J. 1185 war gleich nach der Verkündigung der politischen Unabhängigkeit Bulgariens ohne Befragung und Einwilligung des Patriarchen von Kpel auch eine autokephale, dem Erzbischof von Trnovo unterstellte bulgarische Kirche gegründet worden, die in der Folge (Nov. 1204) die päpstliche Oberhoheit anerkannte und eine förmliche (wenn auch das kirchliche Dogma wohl kaum berührende) Union mit der römisch-katholischen Kirche einging, wobei der Erzbischof von Trnovo vom Papste den Titel eines Primas erhielt. Was bewog nun Asan II im J. 1232 sich vom Papste abzuwenden? Nicht nur Johannes Batatzes in Nikaia und Theodoros Dukas Angelos in Epirus, sondern auch der Bulgarenzar Asan II dachte daran, nach Vertreibung der Lateiner aus

Kpel sich die alte byzantinische Kaiserkrone aufs Haupt zu setzen, und als der lateinische Kaiser Robert von Courtenay 1228 starb und sein Bruder Balduin II, ein elfjähriger Knabe, sein Nachfolger ward, da schien es eine Zeitlang, als ob Asan der Verwirklichung seiner Pläne recht nahe sei. Denn bei mehreren einflußreichen lateinischen Baronen entstand der Gedanke an ein Bündnis mit dem Zaren, das durch die Verlobung Balduins mit der gleichfalls noch minderjährigen Tochter Asans bekräftigt werden sollte. Der Zar ging mit der größten Bereitwilligkeit auf diesen Plan ein, der nicht nur seinem Ehrgeize schmeichelte, sondern ihm auch die faktische Herrschaft in Kpel in ziemlich sichere Aussicht stellte. Aber in Rom wurde die Sache in ganz anderem Sinne entschieden und im Vertrag zu Perugia (1229) vereinbart, daß während der Minderjährigkeit Balduins der Exkönig von Jerusalem Johann von Brienne nach Verlobung seiner Tochter Marie mit Balduin die Regentschaft führen solle. Als Johann von Brienne dann wirklich in Kpel eintraf (Aug. 1231), war die Enttäuschung und Erbitterung Asans groß. Er fühlte sich zurückgesetzt und betrogen. Er brach mit Rom und schloß ein Bündnis mit dem Kaiser von Nikaia, das durch die Verlobung seiner von den Franken verschmähten Tochter Helena mit dem Sohne des Joh. Batatzes noch mehr befestigt wurde. Dieser Koalition, deren Losung der Kampf mit den Lateinern in Kpel war, schloß sich, wie wir oben sahen, auch Manuel, der Despot von Thessalonich, an. Gleichzeitig mit diesem politischen Bündnis fand seitens Asans die Aufhebung der Union der bulgarischen Kirche mit Rom statt, ein Faktum, das bisher nicht bekannt war, nach dem Schreiben des Exarchen an Asan aber nicht mehr bezweifelt werden kann. Das Schreiben gibt auch einen klaren Begriff vom Charakter der jetzt mit der orthodoxen Kirche des Ostens vereinbarten Einigung. Durch diese wird dem Oberhirten der bulgarischen Kirche durchaus keine autonome Stellung eingeräumt, sondern der neu zu erwählende Erzbischof von Trnovo wird, ebenso wie die zur nämlichen Zeit sich unterwerfende griechische Kirche des Westens, angewiesen, sich behufs der Ordination an den Patriarchen von Nikaia oder an den zur Zeit gerade im Westen weilenden Exarchen des Patriarchen zu wenden.

Der Name des im Schreiben des Exarchen erwähnten Metropoliten von Trnovo, der auf sein Amt verzichtet und sich in ein Athoskloster zurückgezogen hatte, ist nicht angegeben und ebenso wenig der Grund seiner Abdankung, aber es liegt sehr nahe, diesen Grund darin zu suchen, daß der bisherige Vertreter der nationalbulgarischen Kirche die neue kirchliche Politik seines Gebieters und den Bruch mit Rom nicht billigte, zumal da eine gewisse Verminderung seiner eigenen hierarchischen

Macht damit verknüpft war. Wenn wir annehmen dürfen, daß er identisch ist mit dem Metropoliten, der kurz vorher die Translation der Gebeine der hl. Paraskeue aus der Umgegend von Kpel nach Trnovo geleitet hatte, so kennen wir auch seinen Namen; in der vom Patriarchen Euthymios verfaßten Lebensbeschreibung der hl. Paraskeue heißt er Basileios. Denselben Namen führte auch der bei der Union mit Rom im J. 1204 an der Spitze der bulgarischen Kirche stehende und vom Papst zum Primas erhobene Hierarch, aber dem Versuche, auch diesen Basileios mit dem späteren Metropoliten gleichen Namens zu identifizieren, stehen chronologische Bedenken entgegen.

Auf die Kriegserfolge der Koalition zwischen dem bulgarischen und den beiden griechischen Reichen, bei der augenscheinlich der Bulgarenzar die anregende und treibende Kraft war, wollen wir hier nicht weiter eingehen, sondern zum Schluß nur noch auf eine spätere Phase in der Stellung der bulgarischen Kirche kurz hinweisen. Wir meinen die sogenannte Erneuerung des bulgarischen Patriarchats im J. 1235, wodurch der bulgarischen Kirche seitens des Patriarchen von Nikaia eine (in ihren Grenzen uns leider nicht vollkommen klare und auch sehr bald zu Streitigkeiten führende) Autonomie zuerkannt wurde, die nach außen hin in der Erteilung des Patriarchentitels an den bulgarischen Erzbischof ihren Ausdruck fand. Dies war eine offenbare Abschwächung des im J. 1232 vereinbarten Übereinkommens und hing wohl mit einer für die Bulgaren günstigen Änderung der politischen Konstellation zusammen, vgl. Georg. Akropol. p. 50, 25 Heisenb.: *τότε καὶ ὁ Τρινόβου ἀρχιερεύς, ὑπὸ τὸν Κπόλεως τελῶν, αὐτονομίᾳ τετίμηται καὶ πατριάρχης ἀναγορεύεσθαι κέκριται βασιλικῷ καὶ συνοδικῷ τῷ θεσπίσματι, χάριτας τῶν προυχόντων ἀποτιννύντων τῷ Βουλγάρων ἄρχοντι Ἀσὰν τοῦ κήδους ἕνεκα καὶ τῆς φιλίας*, wozu Theodoros Skutariotes noch hinzufügt: *Καὶ πρὸς τούτοις, ὅτι ὑπέσχετο αὐτὸς οὗτος τὰ δυνατά οἱ συνάρασθαι τῷ βασιλεῖ εἰς τὴν τῆς Κπόλεως ἐλευθερίαν.*

---

1. Manuel, Despot von Epirus, an den Patriarchen Germanos II.

Πρὸς τὸν πατριάρχην. f. 42v

Καλῶς ἡττᾶσθαι μακαριστόν· εἰ δὲ καὶ τὸ μὴ τέλους ἄχρι τῇ οἰκείᾳ πεισμονῇ συνεκθνήσκειν ἔστιν οὗ τῶν ἐπαινουμένων, μακάριος ἄρα καὶ σύ, πατέρων πάτερ παναγιώτατε, καλῶς παρ' ἡμῶν ἡττώμενος καὶ τᾷ ἡμετέρῳ συγκατανεύσας θελήματι, μᾶλλον δὲ οὐδὲ τῷ ἡμετέρῳ,

2 *ἔστιν οὐ* ‖ 3 *ἡττόμενος*

5 *ἀλλὰ τῷ φυσικῷ, ναὶ δὴ καὶ τῷ θείῳ. καὶ φύσις γὰρ αὐτὴ τοὺς ἰατρούς ποτε τοῖς τῶν νοσούντων θελήμασιν ἄγει συγκατιέναι καὶ ὁ δι' ἐμὲ πτωχεύσας θεὸς λόγος τοσοῦτον τοῖς τῶν δεομένων ὑπεχώρει θελήμασιν, ὥστε καὶ μὴ ζητοῦντος τοῦ ἑκατοντάρχου ἐκείνου, ἐλθεῖν τὸν θεάνθρωπον εἰς τὴν οἰκίαν αὐτοῦ ἐφ' ᾧ τὸν δοῦλον τούτου ἰάσασθαι, ἀλλ'*
10 *ἐκεῖνος ἔλεγεν· Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν. ὁρᾷς, κορυφαῖε παντὸς ἀγαθοῦ, ὡς οὐχ ἡμέτερον ἁπλῶς ἐξεπέρανας θέλημα, ἀλλὰ καὶ πρός τι ἐντρανίσας ὠφειλημένον ἐποίησας; λέγεις δέ, ὅτι παρ' ἡμῶν ἡττήθης, ἀνθρώπων γενναιότατε. τοῦ μυστηρίου βαβαί· ἦ γὰρ ὄντως θαῦμα θαυμάτων, εἰ νενίκησαι ὁ δυσκαταγώνιστος καὶ τρόπαιον ἡμεῖς κατὰ*
15 *τῆς σῆς ἀνδρείας ἐστήσαμεν. ἀλλ' ἴσθι, ὅτι λαμπρότερον σεαυτῷ παρα-*
f. 43 *δόξως ἀνεπλέξω τὸν στέφανον νῦν μᾶλλον, ὅταν τὴν ἧτταν | ταύτην εὐτυχῶς ἐκληρώσω ἢ ὅτε τὴν καδμείαν ἐκείνην δυσκλήρως νίκην νενίκηκας· οὕτω γὰρ ἐγὼ καλεῖν ἐθέλω τὸ προλαβὸν ἐκεῖνο δύσζηλον καὶ τὸ περὶ τὰ πράγματα σκληρόγνωμον καὶ ἀντίτυπον. οὐκέτι γοῦν Ἐφραὶμ*
20 *καὶ Ἰούδας οὐδὲ καταφάγεται οὗτος ἐκεῖνον καὶ ἐκεῖνος τοῦτον, ἀλλ' εἷς λαὸς ὁ ἐξ Ἰακώβ, αἰνοῦντες ὁμοστόμως καὶ εὐλογοῦντες τὸν θεὸν ὑπὸ χορειάρχῃ τῷ μεγάλῳ πατριάρχῃ, τῷ παρ' ἡμῖν Ἰακώβ, τῷ ἐν τοῖς ἐπιτηδεύμασι τῶν χειρῶν αὐτοῦ ἄγοντι καὶ ποικίλλοντι τὴν παρατεθειμένην τούτῳ ποίμνην παρὰ θεοῦ καὶ τὰς δύο ἀδελφὰς νυμφευσαμένῳ,*
25 *τὴν ἀνατολήν φημι καὶ τὴν δύσιν, εἰ καὶ προχρονίως μὲν ἐκείνην, ἀντιχρονίως δὲ τὰ ἡμέτερα. μακάριος εἶ σύ· κατὰ γὰρ τοὺς τῶν παλαιστῶν δοκιμωτάτους ἐπιστημονικῶς ἠγωνίσω καὶ δοκῶν πίπτειν νενίκηκας καὶ τοὺς ὑπερκειμένους ὑπέθου καὶ ὑπόστρωμα τούτους ποιεῖς σεαυτῷ. εὖγέ σοι τοίνυν τῆς τοιαύτης ἥττης, εὖγε ἡμῖν τῆς νίκης· μᾶλλον δὲ*
30 *τὸ ἀνάπαλιν· εὖγε γὰρ τῇ σῇ ἁγιότητι τῆς πανυπερλάμπρου νίκης, ἐπεὶ νενίκηκας ἰδοὺ καὶ τὴν δύσιν, ἣν οὐδεὶς τῶν πρὸ σοῦ καθιδρυνθέντων ἐν τῇ Νικαίᾳ νενίκηκεν, εὖγε καὶ ἡμῖν τῆς ἥττης, ἀπαρακαλύπτως ὑποβαλοῦσιν ἡμᾶς τὲ αὐτοὺς καὶ τὰ ὑφ' ἡμᾶς τῇ πατριαρχικῇ μεταρσιότητι· οὐκέτι γὰρ ὧδε καὶ ἐκεῖ τὸ πατριαρχικὸν ὑποτονθορυσθήσεται*
35 *κλέος ἐν τῇ ἐφ' ἡμᾶς ἐπικρατείᾳ, ἀλλ' ὑπὸ πλατεῖ στόματι καὶ γλώσσῃ εὐφήμῳ δεδοξασμένα περὶ αὐτοῦ λαληθήσεται. τί τοῦτο, ἀνδρῶν μεγάθυμε καὶ ἀήττητε; οὕτως ἡττᾶσθαι μεμάθηκας; οὕτως ἁλίσκει παρ' ἡμῶν, ὁ δυσάλωτος; μακάριος εἶ· τὸ γὰρ τοῦ Χριστοῦ μου πραΰθυμον ὡς ἄγκιστρον ἐκ τῶν ἑῴων σκοπέλων ἐν τῇ δυτικῇ καθυποχαλάσας*
40 *θαλάσσῃ ζωγρίαν ἀνήνεγκας μυριάδας ἀνθρώπων οὔκουν ἀριθμητῶν, ἄριστον ἀρίστως ἡτοιμασμένον αὐτῷ καὶ πανδαισίαν τῇ ἑαυτοῦ τραπέζῃ*

5 *δὴ* P.-Kerameus: *δὲ* ‖ 8 Matth. 8, 5 ff. ‖ 10 *κορυφαία* ‖ 12 *ὀφειλημένον* ‖ 16 *ἧτταν .αὐτην εὐτύχως* ‖ 17 Ps.-Zenob. 4, 45 ‖ 18 *οὔτ. γὰρ* | *ἐ.έλω* ‖ 20 Jes. 11, 13 | 22 1. Mos. 30, 37 ‖ 32 *ὑποβαλούσῃ* ‖ 34 *ὑποτονθορυθήσεται* ‖ 35 *ὑπὸ πλατὺ*

ἁρμόδιον. εὐλογητὸς οὖν αὐτὸς ὁ συνάπτων τὰ νέα τοῖς παλαιοῖς. καὶ πάλαι μὲν γὰρ Παῦλος ὁ τὸν Χριστὸν ὅλον ἐν ἑαυτῷ περιφέρων συνησθένει τοῖς ἀσθενοῦσι καὶ ὑπὲρ τῶν σκανδαλιζομένων ἐπυροῦτο καὶ πάντ' ἐποίει καὶ πάντ' ἔπασχεν, ἵνα πάντας καίπερ ἀπειθοῦντας 45 κερδήσῃ, νῦν δὲ σὺ Παῦλος νέος ὑπὸ θεοῦ ἀνεγήγερσαι καὶ ζήλῳ ζηλοῖς κατ' ἐκεῖνον τὴν ἐκκλησίαν Χριστοῦ καὶ ὑπὲρ πασῶν τῶν χριστιανικῶν ἐκτήκει ψυχῶν. μεριμνῶν οὖν καὶ τυρβάζων καὶ περὶ τοῦ καθ' ἡμᾶς ἐνταῦθα κλίματος, καίπερ μὴ τραχηλιάζοντος εἰς τὸ κατασκηνοῦσθαί σου τὴν δόξαν ἐν τῇ γῇ ἡμῶν, εὗρες, ὅπερ ἐζήτεις· κἂν γὰρ ἡ τῶν 50 ἡμερῶν ἀπραγία προεκώλυέ σου τὸ πρόθυμον, ἀλλὰ θυροκρουστοῦντι συχνὰ δι' εὐχῆς, ὀψέ ποτ' ἀνοίγει θεὸς καὶ τὴν καλοῦ ἐξομαλίζει ὁδὸν καὶ αἴρει τοὺς λίθους ἀπ' αὐτῆς καὶ εὐθεῖαν ποιεῖται αὐτήν. τί γοῦν ἔσται ἀπὸ τοῦ νῦν; τί σοι ἄλλο ποιήσω, ὦ μέγας τῆς οἰκουμένης φωσφόρε; ἠνοίγησάν σοι αἱ ὁδοί, τὰ τῶν λίθων προσκρούσματα μετετέ- 55 θησαν, τοῦ λοιποῦ ἵππευε κἂν τῇ δύσει καὶ διφρηλάτει, ταχὺς ὡς γίγας, καλὸς ὡς νυμφίος ἐκ παστοῦ αὐτοῦ· πάντα περισκόπει, καταφώτιζε ξύμπαντα, μηδεὶς ἢ μηδὲν ἀποκρυπτέσθω τὴν θέρμην σου. τὰ μὲν δὴ περὶ τῶν τοιούτων ἑτέρα τις κομψευομένη γλῶσσα καὶ γλαφυρὰ καὶ καλλιπλοκεῖν εὐφυῶς τὰ τοιαῦτα γινώσκουσα διαλαλείτω τρανότερον, 60 ἡμεῖς δὲ στρατιῶται ὄντες τὴν γλῶσσαν ἀποίκιλοι καὶ πρὸς κάλλος ξέειν τοὺς λόγους μὴ ἐξασκήσαντες, ἐνταῦθα κἂν ἀτέχνως καὶ ἀκαλλῶς τὸν περὶ τούτου λόγον συγκλείομεν.

Ὁ δέ γε παναγιώτατος μητροπολίτης Ἀγκύρας ὁ παρὰ τῆς σῆς ἁγιότητος πεμφθεὶς εἰς τὰ καθ' ἡμᾶς ἑσπέρια, ὥστε τὸν τῆς ἁγιότητός 65 σου τόπον ἀποπληρῶσαι καὶ καταφωτίσαι τὰ ἐπὶ πολὺ τῆς πατριαρχικῆς διανοίας μὴ ἀπολαύσαντα, διεσώθη ἕως καὶ εἰς ἡμᾶς ὑγιῶς, πάσης ἀνίας ὑπέρτερος, καὶ ὑπεδέχθη ἀσμένως παρ' ἡμῶν καὶ μετὰ τιμῆς τῆς ἀξίας· αὐτὸς δὲ πάλιν μετέδωκεν ἡμῖν τῆς σῆς εὐλογίας καὶ τοῦ ἁγιασμοῦ, ὃν δι' αὐτοῦ πρὸς ἡμᾶς ἡ σὴ ἁγιότης ἐξέπεμψεν. ὅμως καὶ τὸ τοῦ 70 Ἀγκύρας γράμμα δύναται βεβαιῶσαι | τὰ περὶ τούτου τῷ σῷ μεγα- f. 43v λείῳ. δοξάζεται οὖν ὁ θεός, εὐλογεῖται καὶ τὸ τῆς σῆς ἁγιότητος ὄνομα, ὅτι διεῖλες τὸ μεσότοιχον τοῦ φραγμοῦ, ὅτι συνῆψας τὰ δύο εἰς ἕν, ὅτι οὐχ ἑτερορεπῶς καὶ περὶ μέρος, ἀλλ' ἐξίσης καταφωτίζεις τὰ ἑῷα καὶ τὰ ἑσπέρια. ἐπὶ τούτοις πίστιν ἔχομεν εἰς τὸν θεόν, ὅπως εὐμενισθήσεται καὶ 75 ἡμῖν τοῦ λοιποῦ τὸ φοβερὸν ὄμμα τὸ ἐπιβλέπον ἐπὶ τὴν γῆν καὶ ποιοῦν αὐτὴν τρέμειν. καὶ ἔσται ἡμῖν οὐ μόνον ἡ ἄνωθεν εἰρήνη καὶ τὸ τῶν ψυχῶν ἀσφαλές, ἀλλὰ καὶ τῶν ἐγκοσμίων ἀπολαύσομεν ἀγαθῶν γάλα τὲ ἀμέλξομεν

---

44 συνασθένει ‖ 45 1. Kor. 9, 22 ‖ 51 ἡμερῶν ἀκραγία ‖ 52 ἀνοίγοι (ο auf einer Rasur) ‖ 56 διφρηλάττει | Ps. 18, 6 ‖ 57 καλῶς ‖ 60 διαλαλήτω τρανώτερον ‖ 68 ἀνοίας ‖ 71 τ. σῶ μεγαλείω . . ξάζεται ‖ 73 τ. ῦ φ . . . μοῦ | Ephes 2, 14 ‖ 74 viell. παρὰ μέρος? | ἀλ . . ξι . . . καταφωτίζεις ‖ 75 εὐμενισθήσε . . . καὶ ‖ 78 Jes. 60, 16

τῶν ἐκμυζησάντων ἡμᰶς καὶ πλοῦτον φαγόμεθα τῶν ἐκπιεσάντων ἡμᾶς, ἔτι
80 δὲ καὶ τὰ ὄρη τῆς ἐρημωθείσης γῆς ἡμῶν πιανθήσεται καὶ πληρωθήσονται
αἱ ἅλωνες ἡμῶν καὶ ὑπερεκχυθήσονται οἱ ληνοὶ καὶ παλαιὰ παλαιῶν
φαγόμεθα καὶ αἴνεσιν κυρίου λαλήσει τὸ στόμα ἡμῶν. τοιοῦτος ἐγὼ
προφοιβαστὴς καὶ τοῦ μέλλοντος πρόμαντις, πίστει προτεκμαιρόμενος τὰ
ἐσύστερον. ἀλλ' ἐπισφραγίζοι ταῦτα θεὸς ὁ ἀρχηγὸς καὶ τελειωτὴς
85 παντὸς ἔργου ἀγαθοῦ. αἱ ἅγιαι εὐχαὶ τῆς μεγαλειότητός σου εἶεν περι-
φρουροῦσαι ἡμᾶς, ψυχῇ τε καὶ σώματι ἐστηριγμένους τῇ εἰς Χριστὸν
πίστει καὶ προκόπτοντας ἐν παντὶ ἔργῳ ἀγαθῷ.

2. Epistola Georgii metropolitae Corcyrae ad sanctissimum oecumenicum patriarcham, nomine praelatorum, quando acceperunt mandatum ab eo, ut ad synodum convenirent.

Nos, qui in hac occidentali regione pontificalem suscepimus curam
et qui populus tuus et oves pascuae tuae esse et dici non erubescimus,
o superlucens sol patriarcharum lucidorum orbis, nostri principis man-
datum paulo ante congregavit, felicissimi Ducae domini Emmanuelis,
5 qui pietatem armis ornavit et arma pietate illustravit. Sed mandatum
ipsum et congregatio ipsa nihil est, cum litterae sanctitatis tuae, ad
eius altitudinem et celsitudinem missae, ad universale auditorium et
synodum nullo pacto nos efficacius convocarent. Convenimus itaque in
unum alius aliunde et omnes ad sacri coetus complementum, excepto
10 uno aut altero vel fortasse tertio, qui rationabili detenti sunt causa.
Quoniam vero, quasi principio quodam et signo dato, dicto principis
mandato, nostra praelatorum caterva recto tramite se ad iter accinxit
et quicumque et dignitate et armis et dicendi péritia praestabat; quin-
immo quicumque virilem aetatem sunt adepti. Et quis nunc dicere
15 posset divinas illas et caelitus emissas voces et orbi orbem iungentes,
orientali scilicet et superiori orbi occidentalem hunc et inferiorem, descen-
dentem parumper a priore illa ascensione et elatione sua? Oportet enim
quae antiquiora sunt, honorabiliora etiam omnino remanere et solidiora
minus solidis, quemadmodum simpliciora compositis et cor ceteris cor-
20 poris partibus et truncos ipsos ramorum et foliorum soliditate. Priora
enim continent ea, quae ex iis sequuntur, et nullo pacto est ferenda
segregatio ab invicem, siquidem recte coniiceret aliquis, huc tendere
solutionem Danielis, viri scilicet desideriorum, quae declarabat Babylonii
regis insomnia, quibus imaginis et statuae partibus aliud per auri puri-

79 τῶν ἐκπιεσμάτων ἡμῶν ‖ 80 τὰ ὡραῖα τῆς, vgl. Ps. 64, 13 ‖ 81 Joel 2, 24 ‖ 82 Ps. 144, 21 ‖ 84 ἐπισφραγίζει
23 Dan. 2, 32

tatem mystice significatur, aliud per argentum denotatur, aliud per aes 25
et aliud per ferrum et aliud per tegulas ipsas, quorum incongruentiam, quam inter se habent, penitus damnat; testa enim et ferrum natura sua inter se non bene conveniunt et coeunt. Sed per aurum et argentum principatus omni pietatis genere ornati significantur, auro scilicet is qui circa orientem viget principatus, argento is qui hic in 30 occidente quasi argentum relucet principatus demonstratur. Sed nostra convertatur oratio, unde digressa est.

Cum primum nobis patriarchales lectae fuerunt litterae et omnia in eis contenta a principio usque ad finem toto ut par erat accepimus corde, quaenam lingua muta remansit? Quodnam os ad hymnos gra- 35 tiarum plenos non erupit? Et deus magnificatus est per te, domine, eius participatione deificatum simul et deificantem eos qui doctrinae tuae facile obediunt. Ambrosiae namque quasi guttae quaedam visae sunt, quae destillaverunt a felicissimo domino nostro epistolae scriptae, non solum gravitate consiliorum et monitionum, sed proprietate etiam 40 sententiarum sanctorum patrum conditae quasi melle quodam; quinimmo auditores omnes quasi e naribus trahebant omnia, ut nihil aliud amplius cogitarent, quam quod par erat, neque scilicet priores terminos prosiliendos neque leges irritandas, quae a patribus nobis traditae sunt. Hac de causa nos omnes, qui magnitudinis tuae subpastores sumus, 45 virgam tuam et baculum tuum, istam quidem ut disciplinam, illum vero ut consolationem, agnoscimus et tuis vestigiis inhaerere studemus et pro virili te primum pastorem nostrum imitari et ad te unum festinare contendimus et animas gregum nostrorum attente agnoscere nec instar mercenariorum, quorum non sunt oves propriae, illas luporum 50 dimittere insidiis nos ipsos pro viribus accendimus et hortamur. Beatos enim illos divina ostendit scriptura, quorum dimissae sunt iniquitates; nec non tecta fore eorum peccata largitum est ipsis. Hanc vero beatitudinem unde nos adipiscemur et unde hanc metemus messem, nisi per te, bonae poenitentiae seminatorem et praeconem? Inseris enim 55 eam cordibus peccatorum, tum verbis tum operibus. Et ecce messis eorum, quorum mentes non sunt petrarum copiosae neque pertinaces et abruptae et praecipitiorum plenae: reddunt in tempore opportuno copiosam et maturam messem et fruges. Non enim metes, ubi non seminasti, iuxta eum, qui servis suis talenta distribuit, ut in parabola 60 evangelica. Si enim non seminaveris, unde speras te collecturum fructum iustitiae et vitam aeternam? Satisne haec sunt pro anima, quae per se alios consolatur et quae viscera habet misericordiae, qualis videlicet

---

49 Joh. 10, 12 || 52 Ps. 31, 1 || 56 Matth. 13, 5—8 || 59 Luc. 19, 21

tua? Vel addamus aliquid aliud, quo te precemur et obsecremus, su-
65 mentes ex magnis illius Isaiae vocibus: Tolle, o divinissime domine, circumcirca oculos tuos et vide omnes filios tuos; ecce congregati sunt et venerunt ad te, id est, ad tui obedientiam et obsequium, sacrum videlicet et legitimum. Si enim nondum, ut supra dictum est, in aliquo particulari loco est congregata pontificalis synodus (nonnulli enim
70 et hi quidem perpauci defuerunt), sumus tamen omnes concordes et quasi membrorum connexio quaedam et catena, et communis et publici commodi nobis est cura, ut simul omnes tegere et (quod in eadem habetur potentia) omnes nos eadem stola induere valeas et sponsae ornamento ornare et dicere in corde tuo: Quis genuit mihi istos? et
75 quam velox et prompta obedientia et animi promptitudo? Et patrum terminos immobiles, quasi lapides istos quibus facile utimur ad construendas domos, sub te statuunt, donec videlicet sapientiae septem columnis firmata et ornata (et valeat invidia, procul absit omnis calumnia) ut pulchra dei aedificetur domus et augeatur.

80 Hoc sit initium nostrarum responsionum, haec prima constitutio; hae sint nostri coetus scalae primo positae et fundatae, quarum extremitas ad te, sanctitatis videlicet et puritatis caelum, extenditur. Habent autem gressum suum inter nos, qui serpimus humi, ut sit nobis propterea confidendum futuras ascensiones et descensiones angelorum evangelizan-
85 tium pacem et omnia alia bona. Intelliget vero quispiam angelos vel sermones tuae sapientiae, quae deo propinqua est, vel eos quos mittis quotidie tabelliones litterarum, tum a felicissimo domino nostro magno imperatore, qui gratiae donum adeptus est, et a magna sanctitate tua, quae Christum dominum in omnibus imitatur. Quapropter humilem
90 adorationem tibi mittimus et exhibemus, ut tui oratores indesinentes, et totam quae magnae sanctitati tuae assidet et inhaeret sacram et a deo custoditam synodum rogamus simul omnes, ut nobis fraternas dilectiones et orationes et benedictiones largiatur.

3. Patriarch Germanos II sichert die materielle Lage seines Exarchen.

f. 43v *Οὐ φιμώσεις βοῦν ἀλοῶντα, τὸ γράμμα παραγγέλλει τὸ παλαιόν· παραβλητέον δὲ βουσὶν ἀλοῶσι τοὺς περὶ τὰς ἅλωνας ἀναστρεφομένους, τὰς ἐκκλησίας, τῆς καθ' ἡμᾶς ἱεραρχικῆς ἐργολάβας φιλοπονίας, οἷς τῶν δραγμάτων ἐπιβαίνειν ἐφεῖται τῆς μυστικῆς γεωργίας, τῶν ἀνθρωπίνων*
5 *λέγω ψυχῶν, τῷ τοῦ παντὸς δημιουργῷ καρποφορουμένων καὶ συντριβῆς χρῃζουσῶν, ἵν' ἀχυρώδους πάσης ἐκκαθαρθεῖεν ἐπιμιξίας λογισμῶν*

---

65 Jes. 60, 4 ‖ 77 Sprüche 9, 1 ‖ 81 1 Mos. 28, 12
1 5 Mos. 25, 4

(εἴ γε δὴ καὶ ἔργων σαπρότητος) καὶ τῶν ἄνω ἀποθηκῶν εὑρεθεῖεν ἐπάξιοι. τοὺς γοῦν περὶ τὴν πνευματικὴν ἐπτοημένους γεηπονίαν φιμοῦν παρ' αὐτὴν καὶ ταῦτα τῶν καρπῶν τὴν συγκομιδὴν — οὐ καλὸν οὐδὲ ὅσιον· κἂν γὰρ τὸ εὐαγγέλιον ἄμισθον, ἀλλ' οὐχὶ καὶ ἀδάπανον· 10
τίς δὲ καὶ ποιμαίνων ποίμνην ἐκ τοῦ γάλακτος αὐτῆς οὐκ ἐσθίει; εἰ δὲ καὶ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα, εἰ ἡμεῖς ὑμῶν τὰ σωματικὰ θερίσομεν; ὁ θεσπέσιος Παῦλος ἔστιν οἷς ἐντρεπτικώτερον προσφερόμενος φθέγγεται.

Ταῦτά τοι καὶ ἡ μετριότης ἡμῶν, τοὺς κόπους δυσωπουμένη τοῦ 15
ἱερωτάτου μητροπολίτου Ἀγκύρας τῆς Γαλατῶν ἐπαρχίας, ἀγαπητοῦ κατὰ κύριον ἀδελφοῦ αὐτῆς καὶ συλλειτουργοῦ, οἷς κατὰ θεὸν ὑπέβαλεν ἑαυτόν, τὴν ἐξαρχίαν τῶν κατὰ δύσιν πατριαρχικῶν δικαίων μετὰ τῆς ἡμετέρας τοποτηρησίας ἀναδεξάμενος, ἐδικαίωσεν αὐτῷ εἰς δαπάνην πορισμὸν ἀδιάβλητον καὶ τοῦτ' αὐτὸ κεκανονισμένον καὶ τῇ 20
ἐκκλησίᾳ ἐπεγνωσμένον, ὅς ἐστιν ἡ κατὰ τύπον ἀρχαῖον τοῖς ἐπισκόποις ἀπονενεμημένη λογεία ἢ εὐλογία πρὸς τῶν ὑπ' αὐτοὺς μοναστηρίων, εὐκτηρίων οἴκων καὶ πρεσβυτέρων, ἣν καὶ κανονικὸν ὀνομάζειν εἰώθασι. καὶ ταύτην διοριζόμεθα ἀποφέρεσθαι τὸν ἱερώτατον Ἀγκύρας τοποτηρητὴν καὶ ἔξαρχον εἰς οἰκείαν οἰκονομίαν, ἐφ' ὅσον ἂν χρόνον 25
διέπῃ τὸ παρὸν διακόνημα. παρεγγυώμεθα δὲ καὶ πᾶσι τοῖς ὀφειλέταις τοῦ δόματος μεθ' ἱλαρότητος χαίροντας τοῦτο παρέχειν ἐν τῷ λογίζεσθαι, ὡς οὐ μᾶλλον διδόασιν ἢ λαμβάνουσιν, σμικρῶν ψηγμάτων ὅλους θησαυροὺς ἀντωνούμενοι, καὶ τούτους ἀδαπανήτους. — Εἶχε τὸ μηνὶ καὶ δι' οἰκείων χειρῶν ὑπογραφὴν τοῦ πατριάρχου. 30

4. Patriarch Germanos II inbetreff der kaiserlichen Klöster im Westen.

Εἰσὶ μέν, ὡς ἀνηνέχθη τῇ ἡμῶν μετριότητι, διάφορα μοναστήρια f. 43ᵛ
τῆς τοῦ πανευτυχεστάτου δεσπότου καὶ περιποθήτου θείου τοῦ κρατίστου μου αὐτοκράτορος καὶ ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ υἱοῦ τῆς ἡμῶν μετριότητος, τοῦ Κομνηνοῦ κυροῦ Μανουὴλ τοῦ Δούκα, ἐπικρατείας ἑτέρωσε ἕτερον διακείμενα καὶ οὕτω βασιλικὰ κικλησκόμενα, παρὰ δὲ 5
τὴν τοιαύτην κλῆσιν καὶ πάσης ἀφηνιάζοντα χειρὸς ἐπισκοπικῆς, ὑφ' ἧσπερ ἂν ἰθυνόμενα τῆς πρὸς σωτηρίαν φερούσης οὐ παρεκκλίνοιεν· μηδὲ γὰρ ἀνεκτὸν ἡγεῖσθαι τάχα ἱερατικῇ ταπεινοφροσύνῃ καθυποκλῖναι τὸ ὑψηλὸν τοῦ ὀνόματος. τὸ δὲ ὅπως σκῆψις οὐκ εὐπρεπής, | αὐτίκα f. 44
δὴ καὶ φανήσεται. ἠγνόηται γὰρ οὐδενὶ τῶν ἁπάντων, πᾶσαν οἰκοδο- 10
μίαν ἀφιερωμένην θεῷ ἐξ ἱεραρχικῆς τελειότητος λαμβάνειν τὴν πρώτην

10 1 Kor. 9, 7. 11 ‖ 12 ὑμῶν N. T.: ἡμῖν ‖ 17 ἀδελφῷ | ὑπέλαβεν ‖ 21 2 Kor. 9, 5 ‖ 29 τῷ μηνὶ

9 εὐπρεπὴς '. . τίκα ‖ 11 ἀφιερωμέν . . θεῷ | λαμβ . νειν

τοῦ θεμελίου καταβολήν. τοῦ σωτηρίου σταυροῦ τῷ τόπῳ προσπηγνυμένου, ὃν οἱ κτήτορες ἐκεῖθεν ἔχουσι κομισάμενοι, κἂν ἰδιῶται τὴν τύχην ὦσι, κἂν ἄρχοντες, κἂν οἱ τὸ διάδημα περικείμενοι· οὗ δὲ χωρὶς
15 ἱερὸν συστῆναι ἀδύνατον, παντί που δῆλον ὅτιπερ ἐκεῖνος καὶ τὴν πνευματικὴν ἐξουσίαν τῶν δομηθέντων ἀποίσεται, περιλειπομένου τοῖς κτήτορσιν ἑτέρου μὲν οὐδενός, ἐν οἷς καθάπαξ ἀφιεροῦσιν ἐνταῦθα θεῷ, πλὴν ὅτι τῆς μνήμης μόνης καὶ τοῦ διὰ τὴν προσαγωγὴν καὶ τὴν ἐπίδοσιν μακαρίζεσθαι· τῶν γὰρ ἀντιδόσεων ἐς τὸ μέλλον εὐροώτερον
20 ἀπολαύσουσιν. ἀποδεδειγμένου τοίνυν διὰ μετρίων σαφέστατα τοῦ μὴ δύνασθαι ἀνεπισκόπητον εἶναι μηδὲν τῶν παρ' οὑτινοσοῦν τῶν ἁπάντων ἐς δεῦρο καινισθέντων ἢ μετέπειτα καινισθησομένων μοναστηρίων, ἐπὶ σταυροπηγίοις δηλαδὴ ἀρχιερατικοῖς, κἀκεῖνο πάντως συναποδέδεικται, ὅτι καὶ τὰ βασιλικὰ μοναστήρια ὑπὸ ἀρχιερατικὴν αὐθεντίαν ἐτάχθησαν ἀπαρ-
25 χῆς, ἥτις σταυροπήγιον τοῖς θεμελίοις προκατεβάλλετο· ἱεροπρακτεῖ δὲ τά τε ἄλλα καὶ δὴ καὶ τὴν τῶν ναῶν ἐκ πρώτης βάσεως ἵδρυσιν ἕκαστος μὲν τῶν τε τοὺς ὑψηλοὺς καὶ τῶν τοὺς ὑποβεβηκότας ἐπεχόντων θρόνους τῇ ἑαυτοῦ ἐνορίᾳ· παρ' ἐνορίαν δὲ τῶν ἁπάντων οὐδεὶς ποτὲ σταυροπήγιον ἀκινδύνως εὑρεθήσεται παρασχόμενος, χωρὶς τοῦ κατὰ καιροὺς
30 οἰκουμενικοῦ πατριάρχου, ᾧ δηλονότι μετὰ τῶν ἄλλων καὶ τουτὶ τὸ προνόμιον ἐπὶ πάσης ἐφεῖται τῆς διοικήσεως.

Μελήσει τοίνυν τῷ ἱερωτάτῳ μητροπολίτῃ Ἀγκύρας, ἐξάρχῳ τῶν κατὰ δύσιν πατριαρχικῶν δικαίων καὶ τοποτηρητῇ τῆς ἡμῶν μετριότητος, ἀγαπητῷ κατὰ κύριον ἀδελφῷ καὶ συλλειτουργῷ, ἐπὶ συνελεύσει
35 καὶ τῆς ἐκεῖσε ἱερᾶς ἀδελφότητος ἀνερευνῆσαι τὰ περὶ τῶν ὡς εἴρηται βασιλικῶν λεγομένων μοναστηρίων, παρουσιαζόντων πρὸς τὴν ἐξέτασιν καὶ τῶν τὰς ἐνορίας ἐχόντων ἀρχιερέων, ἐν αἷς τὰ τοιαῦτα ἵδρυνται μοναστήρια, καὶ εἰ μὲν σταυροπήγια περισῴζοιντο ἀδιάβλητα, δι' αὐτῶν, εἰ δ' οὖν, ἀλλὰ δι' ὧν ἂν ἑτέρων εὐπορήσῃ δικαιωμάτων, ἀπό τε τῶν ἐκ-
40 κλησιῶν ἀπό τε τῶν μοναστηρίων προϊσχομένων, εὑρεῖν τὴν ἀλήθειαν, ἐκ τούτων ἕκαστον τῇ πνευματικῇ αὐθεντίᾳ καθυποτάξαι, εἴτε τοῦ ἐγχωρίου ἀρχιερέως, εἴτε μὴν καὶ τῆς ἡμῶν μετριότητος, ᾧτινι δηλονότι μέρει καὶ διαφέρον ἐκ τῶν ἐγγράφων ἀποδείξεων εἴτουν παραστάσεων εὑρεθήσεται. ἔνθα δὲ ἴσως μήτε σταυροπήγιον εὕρηται καὶ δικαιωμάτων ἐγγράφων
45 ἀπορία προσίσταται, διὰ τῆς πρὸ τοῦ συγχυτικοῦ καιροῦ χρονιωτέρας νομῆς ἀπαραγράπτως μαρτυρουμένης ἡ νικῶσα τῷ πλεονεκτουμένῳ μέρει ἀποδοθήσεται· καὶ ὑπὸ τὴν τούτου ἀνάκρισιν ἔκτοτε κείσεται τὸ ἀμφίβολον μοναστήριον ἐν τοῖς ψυχικοῖς σφάλμασιν, ἐκεῖθεν καὶ τὴν τῆς ἡγουμενείας σφραγίδα δεχόμενον καὶ πᾶσαν ἄλλην διακυβέρνησιν ἐπισκοπι-
50 κήν, διατράνως δὲ καὶ τὴν ἀναφορὰν ἐν ταῖς ἱεραῖς ἁγιστείαις καὶ ταῖς καθεκάστην ἑωθιναῖς καὶ ἑσπεριναῖς ὑμνῳδίαις ποιούμενον. —

12 προσπηγνύμενον

Εἶχε τὸ μηνὶ ἰουνίῳ ἰνδικτιῶνος ἕκτης διὰ τιμίων γραμμάτων τῆς πατριαρχικῆς χειρός (1233).

5. Georgios von Kerkyra an den Exarchen Christophoros.

Θεοείκελε δέσποτα καὶ τοῦ καθ' ἡμᾶς ὀρθοῦ λόγου στερεμνιώτατε f. 71 *πρόβολε, εἴης ἐπὶ μήκιστον βιοτῆς ἑστηκὼς ἀτίνακτος, ἀπερίτρεπτος, ὡς δ' αὖ καὶ στῦλος πυρὸς τὸ περὶ σὲ ἱερατεῖον, τοὺς τῆς ἡμετέρας λέγω υἱούς, ἐφ' ὅσα θεὸς ἐπαγγειλάμενος ἔχει τοῖς ἀγαπῶσιν αὐτὸν ἀγαθὰ ποδηγῶν καὶ ἕλκων τούτους ὡσεὶ νεφέλη σκιάζουσα. δεῖ γάρ σε καλεῖν* 5 *ἀμφότερα κατ' ἀμφότερον, ὅτι τε πᾶσα νὺξ ὑποχωρεῖ παρὰ σοὶ πραγμάτων συνθολούντων τὸν ἡγεμόνα νοῦν, ὡς ἡ πτερόεσσα φήμη διατρανοῖ, καὶ ὅτι τοῖς καυσουμένοις ἡμῖν ὡς ὑπὸ θερμοτέραις ταῖς θλίψεσιν ἐστάλης ἄνωθεν δροσοβολοῦσα νεφέλη καὶ πλείστοις ἀναλάμπουσα πυραυγήμασιν. ἀλλὰ ταῦτα μὲν ἄλλοι λεγόντων τρανοτέρᾳ τῇ γλώττῃ, οἷς καὶ λόγου μετα-* 10 *διδοῖς καὶ φερεσβίου θεωρίας τούτους καταξιοῖς· ἐγὼ δὲ μακάριον ἥγημαι ἐμαυτόν, ὅτι καίπερ οὐδέπω παραλαβὼν αὐτοψίᾳ τὰ μακρόθεν ἠκουτισμένα καταπειθής εἰμι καὶ οὐκ ἀντιφθέγγομαι τῷ κηρύγματι. ἓν καθικνεῖταί μου τῆς ψυχῆς διὰ λύπης βαθείας, τὸ ἀπολελεῖφθαι τῆς ἱερᾶς συνόδου καὶ ἔτι κεῖσθαι ἡμιθανής· ὑπὲρ κεφαλὴν γὰρ αἱ νόσοι καὶ ὁλοσώ-* 15 *ματος ἡ τῆς ἀσθενείας κατάσκηψις. δεύτερον εἰς ὀδύνης λόγον, ὅτι περὶ ἡμῶν οὐδεὶς λόγος, ἀλλὰ κοπρίων ἐκβλητότερος γέγονα παρ' ὑμῖν. πλὴν μὴ καταφρονεῖν μηδὲ τῶν μικρῶν ἐκ τῶν εὐαγγελικῶν μέρος μέγιστον ἔξεστιν ἀναλέγεσθαι· μικρὸς γάρ φησι καὶ Δαυὶδ ἤμην ἐν τοῖς ἀδελφοῖς μου· καὶ ὡς ἐκεῖνος ἐν τῷ τοῦ πατρὸς οἴκῳ νεώτερος, οὕτω κἀγὼ* 20 *παρ' ὅλην τὴν δεσποτικὴν οἰκοδεσποτίαν τὸ ἐλάχιστον ἔλαχον καὶ τῶν ἐσχατοθρόνων χαμαιθρονώτερος ἀναδέδειγμαι, οὐκ οἶδα εἴτε κατὰ σύμπτωσιν τούτου γεγενημένου (δοτέον γὰρ τῇ τύχῃ καὶ τὰ θνητῶν, ἀλλ' οὐ κατ' εὐβουλίαν, ὥς πού τις ἐκομψεύσατο), εἴτε τοῦ βαθμοῦ φερωνύμως συστοιχουμένου πρὸς τὸ τοῦ τόπου ἐπώνυμον· Κέρκυρα γὰρ* 25 *πόθεν ἂν καὶ προσλάβοιτο τῆς λέξεως τὴν ἀνάπτυξιν ἢ ἐκ τοῦ κέρκος; οὐρὰ δὲ τοῦτο τοῖς καθέκαστα τῶν ζῴων ἐπιπεφήμισται, μέρος μὲν τελευταῖον τῆς σωματικῆς ὁλοκληρίας, οὐ μὴν παντάπασιν ἀκαλλὲς οὐδ' ἄχρηστον οὐδ' ἀσυντελές, εἴπερ κἂν τοῖς γραφικῶς ἱστοροῦσιν τῶν παλαιοτέρων πράξεων διηγήματα τὸ τῆς οὐραγίας ὄνομα παρειλημμένον* 30 *εὑρίσκω, ὀπίσθιόν τι σύστημα φαίη ἄν τις ἀνὴρ τακτικός, ὃ πρὸς μὲν τοὺς μέσους ἐγγύς, τῶν δὲ προφαλαγγιζόντων ἀπομηκύνεται καὶ ὅμως ἔστι τῆς ὅλης τάξεως ἀναπληρωματικόν· κἂν ἡ προάγουσα μοῖρα πάθοι*

52 *τῶ μηνὶ*

1 *θεοείκελλε* ‖ 3 2 Mos. 13, 21 ‖ 4 1 Kor. 2, 9 ‖ 5 4 Mos. 10, 34 ‖ 17 *ἐκβλητότεροι*, Heraklit bei Plut. mor. 669 A ‖ 19 Matth. 18, 10 ‖ 20 Ps. 151, 1 ‖ 21 *οἰκοδεσποτ . αν* ‖ 23 *τύχῃ* : *ψυχῇ*, Chairemon bei Plut. mor. 97 C ‖ 29 *ἱστο . . . ιν*

τι τῶν ἐν πολέμῳ ἀνιαρῶν, ὁ οὐραγὸς μέντοι τὸν ἐνυάλιον ὑποδέχεται
35 καὶ τοὺς τὰ νῶτα κλίνοντας ἀντερείδει καὶ ὡς ἔρυμα κρατερὸν τὸν τῶν
ἀντιμάχων ῥοῖζον ἀντωθεῖ καὶ ὑφίσταται· οὕτω καὶ τὰ φαυλότερα τῶν
σωματικῶν ἀνυσιμώτερα γίνεται, ὥσπερ οὖν καὶ μέγας ὀρθοῖτο ἂν ὑπὸ
σμικροτέρου κατὰ τὸ πάλαι γνωμάτευμα. ἀλλ' ἐπεὶ τὰ πάντα τοῖς πᾶσιν
καὶ πράγματι προσήκων ἔστι καιρός, στέρξομεν καὶ ἡμεῖς οἱ ἔξω μνημο-
40 σύνης πνευματικῆς νῦν μὲν τὴν ἀκαριαίαν, τῆς νοσερότητος ἐπιπροσ-
θούσης τοῦ σοῦ τιμίου προσώπου ἐνοπτρισμοῖς ἱεροῖς· ἐπὰν δ' ἀνα-
κωχεύσῃ μοι τὰς ὀδύνας ἡ παλαμναία, ἴσως δὲ καὶ ἡ τῆς ἁγιότητός
σου περιωπὴ ἐπὶ τὰ κατώτερα μέρη ταῦτα καὶ ἐπὶ τοὺς χθαμαλοὺς
ἡμᾶς καταβῇ, τότε πάντως ἔσται καιρὸς ἐμοὶ ἐπιτηδειότατος. εἰ δὲ
45 προαποθάνοιμι, δέσποτα, τῆς εὐκταίας σου συναναστροφῆς, ἔσονταί μοι
καλὸν ἐφόδιον τὰ τοῦ παρόντος ἀντίφθογγα ῥήματα· ἃ καὶ ἐπιχορήγει,
προσνέμων μοι τῷ ἐλεεινῷ τὰς ἐκ τῆς δοθείσης σοι ἐξουσίας ἀκραιφνεῖς
λύσεις, ὡς καὶ τῷ ὅλῳ οἶμαι πληρώματι τῆς ἐν Χριστῷ συνοδικῆς ἀδελ-
φότητος. καὶ γὰρ ἀπὼν ὡς παρόντα σε θεωρῶ, προσπτυσσόμενος κε-
50 φαλὴν ὤμους τε καὶ ἄμφω φάεα καλὰ χεῖράς τε πρακτικευομένας πρὸς
ἔργων ἀντίληψιν ἱερῶν καὶ ἐπὶ τούτοις γονάτων ἑκατέρων ῥυθμούς,
εὖ εἰδώς, ὡς τὸ τιμᾶν τὴν εἰκόνα διαβιβάζειν ἔστι τὴν χάριν πρὸς τὸ
πρωτότυπον.

6. *Τῷ ἁγιωτάτῳ Ἰωαννίνων ὁ ἁμαρτωλὸς ποτὲ Ναυπάκτου.*

f. 72ᵛ Ἁγιώτατε Ἰωαννίνων καὶ ἠγαπημένε μοι δέσποτα, εὐχή μοι τὴν
ἁγιότητά σου ἐν ὑγείᾳ διατηρεῖσθαι καὶ μνήμην ἔχειν καὶ τῆς ἐμῆς
ταπεινότητος. ζῶ καὶ ἐγὼ ἐν ἀσθενείᾳ διάγων ἐν τῇ Κοζύλῃ καὶ ὑπο-
μένω τὰς ἐξαρχικὰς ἀπειλὰς καὶ τοὺς ἐν γράμμασι προπηλακισμούς· ὧν
5 οὐδὲν ἐμοὶ μέλει, καὶ τῇ ἀληθείᾳ καὶ τῷ δικαίῳ θαρροῦντι· καὶ ὁ καιρὸς
μάρτυς ἐσεῖται τῶν λαλουμένων σοφώτατος. σὺ δὲ ἐπεὶ μόνος ὑπελεί-
φθης ἡμῖν εἰς παράκλησιν, μὴ λήγῃς καὶ γράμμασιν ἡμᾶς παρακαλῶν
καὶ μηνύμασι. θαρρῶν δὲ εἰς τὴν ἐν κυρίῳ ἀγάπην σου, ἀπέστειλα
τρία κεφάλαια ὑπέρπυρα ἐπὶ τῷ ἐξωνηθῆναι μοι δέρματα ἀλωπέκων·
10 οἶδας γάρ, ὅτι ποθὲν οὐκ ἔχομεν τοιαύτην περιβολήν, εἰ μὴ ἐξ ἑαυτῶν
πορισόμεθα. ἔστωσαν δὲ καὶ μεγάλα καὶ καθαρὰ καὶ ἄξια τῆς ἀγορα-
σίας τοῦ ὠνησομένου αὐτὰ ἡμετέρου παιδὸς τοῦ Καππάδοκα· καὶ κατα-
βήτω καὶ ἐπὶ τὰ δέρματα ταῦτα ἡ ἐπιστασία τῆς σῆς ἁγιότητος, εἴ γε
κεῖται ἐν μνήμῃ σοι τὸ ἐν ὑψηλοῖς κατοικεῖν καὶ τὰ ταπεινὰ ἐφορᾶν.
15 χαρίζου μοι ἀπὸ κυρίου εὔθυμός τε καὶ μακροήμερος, ἡμῖν δὲ κατὰ τὸ
δυνατὸν ἱλέωσαι τὴν τοῦ ἐξάρχου ψυχήν· πείθομαι γὰρ ἀγαπητά σοι

37 Soph. Aj. 161 ‖ 38 Prediger Sal. 3, 1 ‖ 39 μνημόσυνον ‖ 43 περιοπὴ ‖
50 Hom. Od. 16, 15 ‖ 52 Theod. Stud. 422 D.
5 μέλλει ‖ 14 Ps. 112, 56 ‖ 16 πύθομαι

εἶναι τὰ ἐξ αὐτοῦ καί σε τῶν πολλῶν προτιμᾶν καὶ ἀγαπητικῶς δια-κεῖσθαι σοι. | *ἀλλ' εἴης μοι εὔθυμος ἀνθῶν ἀρεταῖς ὡς παράδεισος καὶ* f. 38 *θάλλων ἐν φιλίᾳ ὡς ἰτέα παρ' ὕδατα.*

7. Der Exarch Christophoros an den Zaren Asan II.

Πρὸς τὸν βασιλέα.

Πανευσεβέστατε βασιλεῦ καὶ πνευματικὲ υἱὲ τοῦ ἁγιωτάτου μου f. 70 *δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου, εὔχομαί σου τῇ βασιλείᾳ ὑγείαν καὶ εὐθυμίαν καὶ σωτηρίαν ἀπὸ θεοῦ καὶ εὐόδωσιν· ταῦτα δέ σοι ἐπεύχεται καὶ ὁ ἁγιώτατός μου δεσπότης ὁ οἰκουμενικὸς πατριάρχης καὶ ἅπασα ἡ ἁγία καὶ ἱερὰ σύνοδος, ὅτι τῆς ἁγίας καθολικῆς καὶ ἀπο-* 5 *στολικῆς ἐκκλησίας τέκνον ἐγένου γνήσιον καὶ ἥνωσας καλῶς τὰ πρώην διεστῶτα κακῶς καὶ εὐόδωσας πρᾶγμα ὀρθοδοξότατον εἰς τὴν Ζαγοράν, ὅπερ οὐδεὶς τῶν πρὸ σοῦ ἴσχυσε. διὰ τοῦτο καὶ ὁ θεὸς ἀνύψωσε καὶ ἐδόξασέ σε καὶ ἀξίαν τῆς πίστεώς σου δέδωκέ σοι ἀνταμοιβήν. ὁρᾷς τὴν τῆς εὐσεβείας ῥίζαν, ὁποίους ἐπιδίδωσι τοὺς καρπούς; ὁρᾷς τὸν* 10 *τῆς δικαιοσύνης θεμέλιον, ὁποῖα δείκνυσι τὰ οἰκοδομήματα; βλέπεις τὴν τῆς ἀληθείας ὁδόν, εἰς οἷον φέρει τὸ μεγαλεῖον τὸν ταύτην ὁδεύοντα; ταύτης οὖν ἔχου καὶ ἔτι ἀμεταθέτως, ταύτην ὅδευε, ταύτην κράτει, ταύ-την ἀπαρέκκλιτα βαῖνε, καὶ τῷ τρόπῳ τούτῳ καὶ πολὺν ζήσεις χρόνον καὶ προστεθήσεταί σοι ἔτη ζωῆς καὶ πλατυνθήσονται αἱ ἐπαύλεις σου* 15 *καὶ τὰ σχοινίσματα τῆς κληρονομίας σου αὐξηθήσονται· ὅσῳ γὰρ τὸ ψεῦδος καὶ ἡ κακοπραγία θρόνους δυναστῶν περιστρέφει, τοσοῦτον ἡ δικαιοσύνη καὶ ἡ εὐσέβεια ἔθνος ὑψοῖ καὶ δοξάζει καὶ μεγαλύνει.* | f. 70ᵛ *ὅρα γοῦν, μὴ ἐκκλίνῃς μήτε εἰς τὰ δεξιὰ μήτε εἰς τὰ ἀριστερά, ἀλλὰ τὴν μέσην ταύτην βαῖνε καὶ βασιλικωτάτην ὁδόν, ἥτις ἐδόξασέ σε καὶ* 20 *ἐπὶ πλέον δοξάσει σε.*

Ἤθελον δὲ καὶ αὐτός, ἐξότου τῇ τοῦ πανυψηλοτάτου δεσπότου καὶ βασιλέως καὶ περιποθήτου γαμβροῦ τῆς βασιλείας σου χώρᾳ ἐπεδήμησα, γράψαι καὶ παραδηλῶσαι τῇ βασιλείᾳ σου τὴν ἐμὴν ἐπὶ τοῖς δυτικοῖς μέρεσιν ἄφιξιν· οὐ γὰρ ἁπλῶς οὐδ' ὡς ἔτυχεν ἡ ἡμετέρα ἐγεγόνει 25 *κατέλευσις, ὥστε κἂν ταῖς ἱεροπραξίαις καὶ ἄλλῃ πάσῃ ἐκκλησιαστικῇ αὐθεντίᾳ τόπῳ ἑνὶ ἢ χώρᾳ μιᾷ περιγράφεσθαι, ἀλλ' ἐν ἁπάσῃ τῇ δύσει τοποτηρητὴς καὶ ἔξαρχος ἀπεστάλην παρά τε τοῦ ἁγιωτάτου δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου καὶ τῆς ἱερᾶς καὶ ἁγίας συνόδου, ἅπαντα κατὰ δύσιν διεξάγειν καὶ ἐνεργεῖν, ὁπόσα προσαρμόζει τῷ θρόνῳ τῷ* 30 *πατριαρχικῷ.*

---

18 *εἴης* P.-Kerameus: ein Abkürzungszeichen (= *ης*?) ‖ 19 *θάλων*

7 *εὐόδωσας* (ο korr. aus ω) ‖ 16 viell. *ὅσον*? ‖ 18 Sprüche 14, 34 ‖ 19 Sprüche 4, 27; 4 Mos. 20, 17 ‖ 20 *βα . . ε καὶ*

Ἐπεπόθουν οὖν, ἀφ' οὗ καὶ τῷ μακαριωτάτῳ ἀρχιεπισκόπῳ Τρινόβου ἐν τῷ ἁγίῳ ὄρει ἐνέτυχον, γράψαι τῇ βασιλείᾳ σου· αἱ δὲ κοσμικαὶ συγχύσεις ἐμποδόν μοι γεγόνασι καὶ διὰ τοῦτο οὐκ ἴσχυσα παρα- 35 *δηλῶσαι τῇ βασιλείᾳ σου, ὁπόσα τῷ τοιούτῳ ἀρχιεπισκόπῳ συνέτυχον· καὶ ἠνάγκασα αὐτὸν ἀπελθεῖν εἰς τὴν ἐκκλησίαν αὐτοῦ· ὁ δὲ μετάνοιαν θεὶς καὶ συγγνώμην αἰτήσας ἀπεκρίνατό μοι τινὰ δοκοῦντα εὔλογα· ἐγὼ δὲ οὐκ ἐπίστευσα ταῦτα, εἰ μήπως γράψω τῇ βασιλείᾳ σου· φθάνει δ' ἑτέρωθεν ἐνηχηθῆναι τῇ ἡμῶν μετριότητι, ὅτι τὴν ἀρχιερωσύνην ὁ* 40 *τοιοῦτος ἀρχιεπίσκοπος παρῃτήσατο· καὶ λοιπὸν ἐν χηρείᾳ ποιμένος ἡ τοῦ Τρινόβου ἐκκλησία καθέστηκε, μελήσει δὲ πάντως ἕτερον προβληθῆναι ἀρχιερέα. εἰ οὖν ἑτοίμως ⟨ἔχεις⟩ ἐν τῇ ἀνατολῇ στεῖλαι τὸν χειροτονηθησόμενον κἀκεῖθεν δέξασθαι τὴν χειροτονίαν, χάρις θεῷ καὶ τῇ εὐσεβεῖ προαιρέσει τῆς βασιλείας σου· εἰ δ' ἴσως ἐμποδοστατήματά* 45 *τινα κοσμικὰ ἐν μέσῳ παραφυόμενα τὸ τοιοῦτον ἀπείργουσιν ἐπιχείρημα, ἐκλεξάσθω ἡ βασιλεία σου ὃν θέλει καὶ ψηφισάτωσαν αὐτὸν οἱ ὑποτεταγμένοι ἀρχιερεῖς τῷ θρόνῳ τῆς ἀρχιεπισκοπῆς Τρινόβου, καὶ οὕτω σταλήτω πρός με ὁ ψηφισθεὶς καὶ δέξεται ἐξ ἡμῶν τὴν χειροτονίαν δεκτῶς καὶ κανονικῶς ὡς ἐκ τῆς πατριαρχικῆς καὶ θείας χειρὸς* 50 *καὶ ἐσεῖται ὁ χειροτονηθησόμενος κανονικῶς καὶ ἀπροκριματίστως. ἓν γοῦν τῶν δύο τούτων ἐκλεξάσθω ἡ βασιλεία σου, ἄλλος δέ τις μὴ ὑπέλθῃ ταύτῃ σκοπός, ὡς εἴ γε παρ' ὧν ψηφισθήσεται, καὶ παρ' ἐκείνων χειροτονηθήσεται· μηδ' ἕτερός τις λογισμὸς ἀπρεπὴς τὸν τόνον τῆς πίστεώς σου πειραθείη καταχαλάσαι καὶ τὰς πρὸς τὴν ἐκκλησίαν* 55 *ἀθετῆσαι συνθήκας, ἐπεὶ καὶ ἡ ἄνωθεν δίκη ἑνὶ ἑκάστῳ ἀξίαν τῶν πραττομένων τὴν ἀντίδοσιν ἀπονέμει· καὶ εἰ τὰς πρὸς ἀνθρώπους συνθήκας ἐπισφραγίζει θεὸς ἐν μέσῳ παραληφθείς, ὡς οὐκ ἐξὸν ταύτας ἀλλοιωθῆναι, ἵνα μὴ τὸ θεῖον ἐξοργισθῇ, ἆρα τὰς πρὸς αὐτὸν καὶ τὴν ἐκκλησίαν γεγενημένας πῶς οὐ κρατήσει; πῶς οὐ στηρίξει; πῶς οὐ τὸ* 60 *ἑδραῖον ταύταις ἀποχαρισθήσεται; ὥστε, εἰ παράβασις τολμηθείη, γνώριμον ὡς καὶ τὴν δίκην ἀπότομον ἕψεσθαι· φοβερὸν γὰρ τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος. διὰ τοῦτο παρακαλῶ καὶ συμβουλεύομαι τὴν βασιλείαν σου μηδόλως παραλυπῆσαι θεόν. ἀλλ' ἐν οἷς οὐκ ἔχεις κέρδος, μηδὲ ζημίαν ψυχικὴν ὑποσταίης, ὅτι οὐ μικρὸς ἐκ παραβασίας* 65 *τοῖς ἀνθρώποις ἀπήρτηται κίνδυνος. ταῦτα θαρρῶν ἔγραψα πρὸς τὴν εὐσεβῆ βασιλείαν σου, τὸ μὲν παρακαλῶν, τὸ δὲ καὶ πατρικῶς νουθετῶν· καὶ οἶδα, ὡς αἱ ἡμέτεραι αἰνέσεις δεχθήσονται παρὰ τῆς βασιλείας σου. ὁ θεὸς ἄνωθεν ἀντιμετρήσει ταύτῃ μακρόβιον ζωὴν καὶ τῶν αἰτημάτων αὐτῆς ἀποπλήρωσιν.*

---

44 *εὐσεβῆ* ‖ 61 Hebr. 10, 31

Riga. **Ed. Kurtz.**

Zum Enkomion auf Kaiser Johannes Batatzes den Barmherzigen.

Die anonyme Lobrede auf Johannes Batatzes, welche A. Heisenberg, B. Z. XIV (1905) S. 193ff. erstmals ediert hat, ist von ihrem Herausgeber zugleich auch auf ihre geschichtliche Bedeutung und die Absicht ihres Verfassers geprüft worden. In letzterer Beziehung hat freilich Heisenberg in seinem a. a. O. S. 178 (ebenso Analecta S. 45) abgegebenen Urteile, wie mir scheint, gewisse Partien des Schriftstückes zu ernst genommen und so das Ganze überschätzt. Der Autor bewegt sich zu einem guten Teil im uralten Geleise des Topos *περὶ βασιλείας* und arbeitet mit dem dafür seit Jahrhunderten von der Rhetorik verwendeten Material, und man muß sich hüten, was er dabei von der Tradition erborgt, auf Rechnung einer eigenen tief innerlichen Begeisterung zu setzen. „Man lese nur, mit welchem Spott und welcher Verachtung er von dem Prinzip der Legitimität spricht! Und wie kriegerisch dieser Mönch dachte und schrieb!" bemerkt Heisenberg. Aber die Herabsetzung der Legitimität ist nur ein konventionelles Auskunftsmittel, da es sich darum handelt, einen Fürsten zu feiern, dessen Vorfahren nicht auf dem Thron gesessen haben, und was die kriegerische Gesinnung betrifft, so ist es nur der Papierhelm der Epideiktik, in welchem der Enkomiast einherstolziert. Es würde sich wohl verlohnen, bei diesem, wie bei anderen byzantinischen Enkomien das Verhältnis zur schulmäßigen Rhetorik bis in alle Einzelheiten festzustellen. Ich verfolge hier dieses Ziel nicht und gebe nur ein paar Notizen, für welche ich das Material gerade zur Hand habe. S. 194, 14ff.; 195, 16ff.: der Fürst soll zunächst sich selbst beherrschen; Herrscher, die den Leidenschaften unterworfen sind, sind *δοῦλοι*: vgl. das B. Z. I (1892) S. 403 Angeführte, das sich durch viele weitere Parallelen ergänzen ließe, ferner B. Z. XIII (1904) S. 401 V. 16f. — S. 193, 30ff.: Vermeidung des Unrechts bei großer Macht zum Fehlen: Isokr. Nikokl. 45, Xen. Kyrup. 8, 1, 30, Themist. Rede 1 S. 6a; 2 S. 30c, Agap. Königsspiegel 6. — S. 193, 29: Die vier Kardinaltugenden mit besonderer Bevorzugung der *φρόνησις*: vgl. B. Z. XIV (1905) S. 485. — S. 194, 22:

Der schlechte Herrscher den Seinigen furchtbar, den Feinden ein Spott: Dion Chrys. Rede 1, 25 S. 51 R.[1]) Das Gegenstück S. 213, 12f.: *ἐπιεικὴς τοῖς οἰκείοις, φοβερὸς τοῖς βαρβάροις*: Dion. a. a. O. Themist. Rede 8 S. 115d. — S. 218, 12ff.: *νυκτὸς μὲν γὰρ οὐκ ἀσωτίαις ἑαυτὸν ἐξεδίδου οὐδ' ᾄσμασι πορνικοῖς οὐδὲ κώμοις καὶ μέθαις οὐδ' ὀρχήσεσιν ἀσέμνοις γυναικαρίων δυστήνων* (übereinstimmend S. 224, 36f.) berührt einen in der Königsspiegelliteratur oft betonten Punkt. Einiges habe ich B. Z. I (1892) S. 404, Berl. philol. Wochenschr. XVI (1896) Sp. 872 zusammengestellt. (Entsprechendes Verbot für die Priester Julian Brieffr. S. 389, 20ff. Hertl.). Vgl. auch Sathas *Ἱστ. δοκ. π. τ. θεάτρ. κ. τ. μουσ. τ. Βυζ. σελ. τμα' κτέ.* — S. 218, 20f. (= 231, 27) Barmherzigkeit als ein *δανείζειν* an Gott und Unterpfand göttlicher Vergeltung: Agapet 50; vgl. 44. — Zu S. 200, 4f. *ἀλλὰ ταῦτ' εἰς ποιητὰς ἀνήχθω* (*καὶ λογογράφους*) verweise ich auf Ps.-Menand. S. 369, 8f. Sp. und B. Z. XIV (1905) S. 486 oben.

Es ist anerkennenswert, daß die Sprache des Enkomions im ganzen glatt, die Gedankeneinkleidung durchsichtig ist.[2]) Der Verfasser besitzt eine gewisse sprachliche und literarische Bildung. Von den vielen Zitaten, mit denen er seine Rede spickt, beruht freilich ein großer Teil wohl nicht auf eigener Lektüre der betreffenden Autoren und eigenem Einfall. Sie waren als Schmuck gewisser Sätze Gemeingut geworden, und sie standen ihm aus schriftlicher oder mündlicher rhetorischer Anleitung oder aus anderen Enkomien und Gelegenheitsreden, die er gelesen oder gehört hatte, zur Verfügung. Über das S. 230, 15f. stehende Zitat aus der platonischen Politeia habe ich B. Z. XIV (1905) S. 483 bereits gesprochen. Eine ähnliche Bewandtnis hat es ohne Zweifel mit der S. 219, 2f. angeführten Stelle, Hom. Od. 6, 182ff.: *οὐ μὲν γὰρ τοῦγε κρεῖσσον καὶ ἄρειον ἢ ὅθ' ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον ἀνὴρ ἠδὲ γυνή.* Sie ist ein altes Repertoirestück für Hochzeitsreden und Ehetraktate[3]) und war wohl einem gebildeten Byzantiner jener Zeit kaum weniger geläufig als uns gewisse bei Trauungen übliche Bibelzitate. Einen größeren Fonds besitzt der Enkomiast so wenig an

---

1) Die in Frage kommenden Worte hat v. Arnim getilgt, wie mir scheint, ohne genügenden Grund.

2) An Ungeschicktheiten fehlt es zwar nicht ganz. Vgl. z. B. S. 205, 22ff.: *παραπλέοντε δὲ τὴν Κρήτην ἐναντίου πνεύματος προσπέσοντος καὶ ἄκοντε κατηράτην εἰς τὴν Κρήτην ὑπὸ τῶν ἐναντίων βιασθέντε πνευμάτων.* Auch im Ausdruck verrät sich nicht selten die rhetorische Schulung, z. B. S. 204, 22ff: *ἐπιθέμενος δὲ συνετάραξε πάντας τῷ ἀπροσδοκήτῳ καταπλαγέντας καὶ συνταράξας ἐτρέψατο καὶ τρεψάμενος διεσκέδασε*, S. 209, 26f.: *πόνῳ καὶ χρόνῳ* und ähnl.

3) Belege in meiner Schrift „Hierokles der Stoiker" (Leipzig 1901) S. 78f., 136f.

fremden aus der Lektüre gewonnenen, wie an eigenen Gedanken. Hat er deshalb einmal ein Zitat oder eine ihm passend scheinende Gedankenwendung erhascht, so bleibt er auch dabei, und es macht ihm gar nichts, dasselbe nach kurzem Zwischenraum zum zweiten und zum dritten Male zu bringen. So kommt es, daß er trotz seiner rhetorischen Bildung oder vielmehr gerade infolge seiner bloß rhetorischen Bildung den Eindruck der Armut und des Mangels an Biegsamkeit und erfinderischem Sinne zurückläßt. Die Wendung *οὐ γῆρας τίμιον ἦν, οὐ πολιά, οὐ νεότης ἐλεεινή* S. 207, 9 kehrt mit geringfügiger Änderung S. 228, 10f. wieder. Den Vergleich der auseinanderstiebenden Feinde mit Vogelscharen, die vor einem Raubvogel sich zerstreuen, treffen wir dreimal: 209, 10f., 213, 32f., 229, 16f. Am erstgenannten Orte zeigt sich, daß unter den in Betracht kommenden antiken Stellen, Hom. Od. 22, 302ff., Il. 17, 755ff., Alk. fr. 27, Bakchyl. 5, 16ff. (letztere Stelle dem Verfasser sicherlich nicht bekannt), Soph. Aias 168f., die zuletzt genannte (von Heisenberg angeführt) vorgeschwebt hat. Eine Variation ist nur dadurch erreicht, daß für den S. 209, 10 beibehaltenen sophokleischen *αἰγυπιός* S. 213, 33 der *ἀετός* (so Bakchylides), S. 229, 17 nach Hom. Il. 17, 757 der *κίρκος* eingetreten ist. Die Charakterisierung des Gelobten durch *δικαιότερος Αἰακοῦ, σωφρονέστερος Πηλέως* S. 210, 7f. findet sich mit Umstellung der beiden Glieder S. 225, 3 wieder, seine Beredsamkeit wird wie S. 210, 25 so auch S. 225, 8 mit derjenigen Nestors verglichen, *ψυχῆς εὐστάθεια* und *γενναῖον φρόνημα* werden S. 196, 33 und 199, 5f. an ihm gelobt. Die bedrängten Feinde sind *ὡς* (*ὥσπερ*) *ἐν δικτύοις ἀπειλημμένοι* S. 220, 34 und 222, 26. Die Anordnungen und das Leben des Königs erscheinen unter dem Bilde der musikalischen Harmonie S. 210, 17ff. und 225, 21ff., wobei die Worte (*οὐδὲ*) *ἐκμελὲς οὐδὲ ἄρρυθμον* unverändert wiederkehren.[1]) Daß mit den Skythen die Türken gemeint seien, wird zweimal S. 200, 21 und 232, 13 gesagt. Ähnliche Wiederholungen liegen an den oben besprochenen Stellen 218, 13f. = 224, 36f., 218, 21 = 231, 27 vor. Dazu kommen noch einzelne Lieblingswörter, wie z. B. *βέβηλος*, das ich neunmal gezählt habe; es findet sich aber wohl noch öfter.

Einen Vorteil bieten solche Dubletten für die Konstituierung des Textes. S. 208, 24ff. lesen wir: *ὃς τὴν βασιλείαν πεσοῦσαν ἤγειρε καὶ ἐκλελοιπυῖαν ἀνεκτήσατο καὶ νεκρὰν σχεδὸν οὖσαν ἐζωοποίησε τοῖς ἀγῶσιν αὐτοῦ καὶ δρόμοις καὶ τόνοις καὶ κινδύνοις ἀλλεπαλλήλοις.* Es liegt von vornherein nahe, für *τόνοις* zu vermuten *πόνοις*, aber

1) Ähnlich S. 218, 34f. von der Königin *οὐδὲν ἄμουσον οὐδ' ἄρρυθμον ἀκοῦσαι ἢ ἰδεῖν ὑπομένουσα.*

Casal Palochitro
Casal *Sicha*
Casal Voni
Casal Exometóchi
Casal Chiprio, etc. . . .»

Ceci nous permet de situer approximativement Sykai. Le village devait être à peu de distance de Palaeokythron et de Voni, qui se trouve à deux heures environ au N. de Chytri.

Σχιά est-il identique à Sicha? Nous l'ignorons.

Quant au monastère de S. Antoine, nous n'en avons découvert aucune trace, ni dans Machaeras, ni dans Kyprianos, ni dans aucun ouvrage moderne sur la géographie ou l'histoire de Chypre.

Ce monastère devait se trouver sur une haute montagne (*ὄρος ἠλίβατον*). Démétrianos, lorsqu'il le quitte pour se cacher, se dirige vers le Nord (*καταλαμβάνει τὰ βορειότερα μέρη τοῦ ὄρους* [414]); puis il se réfugie au bord de la mer (424—425).

Le couvent de S. Antoine s'élevait donc vraisemblablement sur un point de la chaîne de montagnes qui court parallèlement au rivage N. de l'île de Chypre et qui forme de ce côté la limite de la Kythraea.[3])

Les Invasions arabes.

Conquise par les Arabes de Moawiah[4]) pour le compte du Khalife Othman, vers le milieu du VIIe siècle, l'île de Chypre fut pendant trois cents ans l'enjeu de la lutte maritime entre Byzance et l'Islam.

En l'année 686, Abd-el-Melek conclut un traité de paix avec l'empereur Justinien Rhinotmète. Il s'engagea à lui payer annuellement 1000 pièces d'or, un cheval et un esclave. De plus, les revenus de l'île de Chypre devaient être partagés par moitié entre les deux puissances.[5])

1) Mas-Latrie, *L'île de Chypre*, Paris 1879, p. 192, n° 28.

2) Mas-Latrie, *Histoire de l'île de Chypre,* III, p. 509.

3) Les boeufs de la Kythraea, qui jouent un certain rôle dans la vie du Saint, ont été de tout temps renommés. V. Mas-Latrie, *L'île de Chypre*, p. 37 (Les boeufs et les poules du district sont les meilleurs de l'île. Les boeufs de Voni sont, par exception, gras et recherchés).

4) Théophane, *Chronogr.* ed. de Boor, 343, 30.

5) Théophane, *Chronogr.* ed. de Boor, 363, 11: *ἵνα ἔχωσιν κοινῶς κατὰ τὸ ἴσον τοὺς φόρους τῆς Κύπρου καὶ Ἀρμενίας καὶ Ἰβηρίας*. *Chronique* de Michel le

Ce traité plusieurs fois déchiré par les Byzantins, semble avoir été confirmé dans sa clause esentielle chaque fois qu'un *modus vivendi* est intervenu entre les puissances rivales. Certains auteurs arabes veulent faire remonter la clause du partage à la première invasion de l'île, celle que conduisit Moawiah.[1]) Mais la comparaison des textes montre qu'il s'agit ici d'une confusion avec le traité de 686.

Ravagée en 802 par Haroun al Raschid[2]), l'île était administrée par Byzance en 816. En 867, Basile le Macédonien la délivra d'une nouvelle mais passagère occupation arabe.

En 902, (Constantin Porphyrogénète, *de Caer. aul. Byz.* 657) le protospathaire Léon gouvernait l'île pour Léon le Sage.

Mais en 904, Jean Caméniate raconte (ed. Bonn 579) que fait prisonnier par les Arabes à Thessalonique il fut emmené par eux en Chypre, dans le port de Paphos, puis à Tripoli de Syrie. Ce qui paraît démontrer que cette année les Arabes avaient repris pied dans l'île. M. Sakellarios, dans son résumé de l'histoire de Chypre, exprime l'opinion que depuis cette époque Chypre resta sous la domination musulmane jusqu'au règne de Nicéphore Phokas, qui la reconquit définitivement en 967.

On voit que ces quelques faits ne permettent pas de se faire une idée absolument satisfaisante de la succession, en Chypre, des deux dominations. Nous manquons de renseignements sur la reconquête de l'île par les Arabes entre 867 et 902, entre 902 et 904.

Toutefois, nous croyons qu'on aurait tort d'attacher trop d'importance à ces épisodes. Du côté arabe, et peut-être aussi du côté byzantin, il s'agissait chaque fois moins d'une occupation effective et durable que d'un retour offensif, suivi de retraite.

Les chroniqueurs arabes en parlent comme d'un terrain favorable à de fructueuses razzias, comme d'un pays en paix avec les Musulmans parce qu'il a traité avec eux (El Istachri, [915—921] ap. Oberhummer, p. 42) „L'île de Chypre, remarque Mukaddasi, appartient à celle des deux nations qui possède momentanément la maîtrise de la mer" (Oberh. p. 45 = Mukaddasi trad. Gildemeister p. 222). Abu'l Faradj Kodâma Ibn Djafar (928) p. 195 (Oberh. p. 41) la désigne comme une base maritime de la flotte syro-égyptienne.

Grand (arm.) trad. Langlois (Vienne 1868), p. 244. Cf. Bar Hebraeus, *Chronicon* trad. Kirsch, p. 117: (‚Pacti etiam sunt) Cyprum dividendam esse, alteram partem Romanis tributariam fore, alteram Arabibus'. Cf. E. Oberhummer, *Die Insel Cypern*, qui cite ces textes p. 37 et 35. G. Hertzberg, *Gesch. Griechenl.*, I, 174.

1) El Mas' ûdi cité par Oberhummer p. 45. Eutychius ib. p. 43—44.

2) Théophane, *Chronogr.* ed. de Boor, p. 482, 21—23.

Mais rien dans les textes orientaux ne permet de croire qu'elle ait jamais été incorporée à l'empire arabe, comme la Crète par exemple. Chaque fois que Byzance avait le loisir d'y envoyer une flotte, la réoccupation se faisait sans coup férir. Nous ne nous étonnerons donc pas comme M. Schlumberger[1]) de la brièveté des mentions consacrées par Cédrénus et Zonaras à la reprise de Chypre par Nicéphore Phokas. Ce ne dut pas être un grand fait de guerre. Les Arabes ne s'étaient jamais solidement installés à Chypre, comme ils l'avaient fait dans la *θεόλεστος Κρήτη*.

La vie de S. Démétrianos confirme absolument cette impression qui résulte de la lecture des chroniqueurs arabes. Remarquons qu'elle ne fait aucune allusion à une conquête de l'île par les Arabes entre 867 et 902, ni à la reprise par Himérios. Parle-t-elle au moins de l'invasion qui suivit immédiatement et qui permit aux pillards de Thessalonique de ramener à Paphos Jean Caméniate? Au premier abord, on peut être tenté de rapporter à ce fait attesté par l'expérience personnelle de l'écrivain byzantin, le récit que notre hagiographe appelle le premier miracle du Saint Démétrianos. Mais nous pensons, et le lecteur pensera avec nous, qu'il s'agit d'un autre événement.

Mas'ûdi[2]) raconte une descente de ce genre, qui eut lieu en 299 de l'Hégire (911—912) „A la même époque, Dimnanah, chef de la croisière musulmane qui opérait dans le Méditerranée, s'empare de l'île de Chypre, dont les habitants avaient violé le traité conclu à l'origine de l'Islam . . . Pendant quatre mois, Dimnanah livra cette île à l'incendie et au pillage, fit beaucoup de prisonniers et s'empara de plusieurs localités où il se fortifia".

M. Oberhummer, citant ce passage, observe que cette razzia n'est pas connue d'ailleurs. Bien que, comme nous l'avons dit, il ait dû se produire des faits semblables entre 867 et 902, et entre 902 et 904, nous croyons que l'expédition conduite par Dimnanah est bien celle dont il est question dans la vie de S. Démétrianos. Le saint devait toucher au terme de son épiscopat et de son existence: *ἔτι δὲ αὐτοῦ ἐν σαρκὶ διατρίβοντος, τῷ γήρᾳ πιεζομένου καὶ τὴν ἐκεῖθεν ἀνάλυσιν ἐκδεχομένου.* Il ne devait donc pas être loin de sa 80e année.[3]) Or il

1) *Nicéphore Phokas,* p. 472—474.

2) *Les prairies d'or.* Barbier de Meynard et Pavet de Courteille (9 voll. Paris 1861—77), VIII, p. 282. Cité par E. Oberhummer, *Die Insel Cypern,* p. 45.

3) La *Vie* dit qu'il n'avait pas tout à fait 80 ans lorsqu'il mourut (625): *σχεδὸν περὶ τὰ ὀγδοήκοντα ἔτη.* Mais elle dit aussi qu'il prit l'habit monastique à 16 ans; qu'il fut moine quarante ans, et évêque vingt-cinq ans (627—630); $16 + 40 + 25 = 81$.

était né vers le commencement du règne de Théophile. Cette expression assez vague pourrait s'appliquer à l'année 832, même à l'année 833. Il n'est donc nullement impossible qu'il fût encore en vie l'an 299 de l'Hégire. Pour le reste, l'accord est parfait entre le récit arabe et le récit grec. Pillage de plusieurs localités, nombreux prisonniers, riche butin. Les Arabes, dit Mas'ûdi, ne restèrent que quatre mois en Chypre: μετὰ τάχους ἀπέστρεψαν, dit la V. D. Bien plus une phrase de la V. D. semble être une réponse directe à une affirmation de Mas'ûdi. „Les habitants, dit le chroniqueur arabe, avaient violé le traité. Et la *Vita Demetriani*, réfutant évidemment le grief ou le prétexte allégué par les Agarènes: *γέγονεν ἐπανάστασις Βαβυλωνίων βαρβάρων κατὰ τὴν τῶν Κυπρίων νῆσον, οὐ φόρων παραβάσεως ἐγκαλεῖν ἐχόντων, οὐκ ἐπαναστάσεως αἰτίαν, ἀλλὰ τὸν ληστρικὸν τρόπον συνεργὸν ἐχόντων.*

Ce passage est précieux; il prouve sans conteste possible par la protestation même de l'hagiographe, que le traité de 686 existait encore au début du Xe siècle. Ceci constaté, disons que le chrétien peut avoir ici raison contre les Musulmans. L'histoire du voyage de Démétrianos à Bagdad est parfaitement vraisemblable; et s'il entreprit ce voyage, il faut croire qu'il avait le bon droit de son côté. Remarquons d'ailleurs dans quelles termes Mas'ûdi raconte la razzia; il s'agit du coup de main d'un amiral, et non d'une expédition envoyée par le Khalife. Celui-ci a donc pu ordonner la mise en liberté des prisonniers.

Quand fut composée la *Vita Demetriani*?

L'auteur de cette biographie ne nous donne sur lui-même aucun renseignement. La formule hypocrite par laquelle il s'excuse de son ignorance et de son style imparfait est un des clichés de la rhétorique byzantine; et son œuvre même nous convainc qu'il savait, aussi bien que tous les hommes instruits de son époque, construire de pompeuses périodes et faire alterner les périphrases fleuries et les citations bibliques.[1]) Il semble même n'avoir pas été tout à fait ignorant des lettres profanes, ainsi que le prouve sa phrase sur les pommes Delphiques et l'olivier d'Olympie[2]), et sa dissertation sur les catégories de la vertu

1) Il ne faut pas d'ailleurs exagérer les qualités de son style. Les périodes sont souvent bien gauches dans leur grandiloquence. Il n'a pas évité non plus le fâcheux écueil du solécisme, où se heurte si souvent la rhétorique prétentieuse des écrivains qui se servent d'une langue morte. Cf. l. 389—340; 362—363 (nominatif absolu); *ἀρετῶν ἁπάντων* l. 52, etc.

2) Il connaissait peut-être l'épigramme de l'*Anthologie* (XI, 357):

Τέσσαρές εἰσιν ἀγῶνες ἀν' Ἑλλάδα, τέσσαρες ἱροί
οἱ δύο μὲν θνητῶν, οἱ δύο δ' ἀθανάτων·
Ζηνός, Λητοΐδα, Παλαίμονος, Ἀρχεμόροιο·
ἆθλα δὲ τῶν, κότινος, μῆλα, σέλινα, πίτυς.

indique qu'il possédait une certaine connaissance des doctrines philosophiques. Le présent morceau est un *λόγος πανηγυρικός*, composé probablement à l'occasion de la fête du saint (cf. *τοῦ νῦν εὐφημουμένου πατρός... ὁ νῦν ἡμῖν εἰς εὐφημίαν προκείμενος Δημητριανὸς ὁ μακαριώτατος οὗ τὸν βίον καὶ τὰ θαύματα προτραπεὶς παρ' ὑμῶν, ἱερώτατοι, ἐντάξαι τῷδε τῷ διηγήματι*), à l'invitation de saints personnages (probablement du clergé de Chytri). En tout cas l'auteur écrit en Chypre et pour des Chypriotes, puisqu'il invite les incrédules à aller se rendre compte sur place et par eux-mêmes des prodiges accomplis par Démétrianos.

Le morceau fut-il composé *longtemps* après la mort du saint? Nous ne le pensons pas.

Tout en effet dans notre document montre que le souvenir de Démétrianos était encore assez vivant. D'insignifiantes anecdotes comme celle du boeuf, le nom d'un personnage infime comme le berger Makédonios, n'auraient pu se conserver longtemps. L'absence de tout récit miraculeux est frappante. L'auteur a beau dire que les miracles du saint sont innombrables; sa réserve qu'il essaie de justifier ainsi: „*πάσης διηγήσεως θαυμαστικῆς πιστωτέραν τὴν ὄψιν τῶν βουλομένων κρίναντες*“ nous étonne. Le récit de la V. D. si simple, si croyable, si mince aussi, prouve, nous semble-t-il, que la *légende* de S. Démétrianos n'était pas à ce moment créée et consacrée. Démétrianos était encore le bon évêque, le Fénelon chypriote dont se souvenaient avec émotion les laboureurs de la Kythraea, ce n'était pas encore le saint thaumaturge et „myroblyte“ que connaîtra Léonce Machaeras.

Ajoutons que la sortie contre les *φιλοσκῶπται* démontre que la sainteté de Démétrianos était discutée au moins par quelques esprits forts, qui paraissaient s'opposer à ce qu'on instituât un culte public en l'honneur du bienheureux. Je ne crois pas forcer le texte en interprétant de cette manière la phrase (615 suiv.) *τίς ἔτι ἀμφιβολίας ἀφορμὴ λείπεται ταῖς φιλοσκώπταις εἰς τὸ μὴ ἀνυπερθέτως ἐπιγράφειν τούτων τὴν ἁγιότητα*; „quelle raison les railleurs pourraient-ils invoquer pour hésiter encore à proclamer, sans retard, la sainteté de sa vie?“

Enfin, nous trouvons dans les dernières lignes de la V. D. un argument de plus. Cette fin est malheureusement mutilée. Néanmoins, nous y pouvons lire de très claires allusions. L'auteur invoque le secours de Démétrianos, si puissant auprès de Dieu, en faveur de son troupeau qu'assaillent des ennemis visibles et invisibles: *τὰς καθ' ἡμῶν ἐπαναστάσεις τῶν ὁρατῶς καὶ ἀοράτως ἡμᾶς πολεμούντων.* Dans une émouvante prosopopée, il le presse d'intervenir, car l'heure est grave. „*Ὁρᾷς γὰρ τὴν ἀγριότητα τῶν ἐπανισταμένων αὐτῇ πολεμίων καὶ τὴν ἐπικειμένην*

ἐκ πάντων συντριβὴν τῆς καθ' ἡμέραν ταλαιπωρίας". Les derniers mots s'appliquent certainement à des ennemis et non point seulement à des dangers spirituels. Que l'on compare les expressions ici employées: *ἐπαναστάσεις*, *ἐπανισταμένων* avec celles qui se rapportent, plus haut, à l'invasion de l'île, et l'on se rendra compte qu'il s'agit du même péril.

Chypre, en effet, abandonnée par Byzance ne tarda pas à retomber aux mains des Agarènes détestés. Abu'l Faradsch Kodâma ibn Djafar[1]) écrivant vers 928 nous dit „Lorsque le gouvernement a décrété une expédition les gouverneurs d'Egypte et de Syrie reçoivent ordre de faire les préparatifs nécessaires. Le lieu de réunion de la flotte est Chypre. Le gouverneur des frontières syriennes en a le commandement en chef".

Cette situation, comme nous l'avons vu plus haut, dura jusqu'en 967, époque à laquelle le patrice Nikitas Chalkoutzis délivra l'île au nom de Nicéphore Phokas. Nous obtenons ainsi, je crois, un *terminus ante quem.* Mais il ne faudrait pas repousser la composition de la V. D. jusqu'à cette limite extrême. Aux raisons exposées plus haut qui nous paraissent plaider en faveur d'une rédaction postérieure de très peu à la mort de Démétrianos, ajoutons celle-ci. Malgré l'état d'extrême délabrement où se trouve le dernier feuillet du ms., on y distingue:

. . . μετὰ σὲ καὶ τοῦ
θρόνου διάδοχον του . . . οσ
τὸν ἱερώτατον . . ,
πω ἀνάδειξον . . . μιμη
τὴν πίστεως.

Nous n'osons traduire un texte aussi fragmentaire. Mais on peut conjecturer qu'il s'agit ici d'une prière à Démétrianos auquel on demande d'éclairer son successeur. *Μετὰ σέ* ferait croire qu'il s'agit bien du successeur immédiat de l'évêque mort vers 911.

En résumé, notre conviction est que la Vita Demetriani, oeuvre d'un clerc de l'Eglise de Chytri, ne peut avoir été rédigée après le premier quart du X[e] siècle.

Le Manuscrit.

La vie de S. Démétrianos est conservée dans le cod. Sin. graec. 789[2]), manuscrit liturgique du XII[e] siècle, contenant des *κανόνες*, *καθίσματα*, *θεοτοκία*, avec en marge, des noms d'auteurs ou de *compositeurs.*

---

1) V. supra; Oberhummer, *op. laud.*, p. 41.
2) Cf. Gardthausen, *Catal. cod. graec. Sinaït.*

Les feuillets ont été numérotés pendant mon séjour au Sinaï. Ils sont au nombre de 210.

Au recto du f. 188r, immédiatement après le dernier texte liturgique, on lit, en caractères un peu plus grands que l'écriture des hymnes, mais certainement de la même main que la première partie du ms:

Εὐαγγέλιον τοῦ ὄρθρου τοῦ ὁσίου πατρὸς ἡμῶν Δημιτριανοῦ ἐκ τοῦ κατὰ Ἰωάννην.[1] *Εἶπεν ὁ Κύριος + ἐγώ εἰμι ἡ θύρα + δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ σωθήσεται. Des.* 188r *καὶ γενήσεται μία ποίμνη εἷς ποιμήν.*

Suit *l'Apostolos* de *l'orthros*: *Πρὸς Ἑβραίους ἐπιστολὴ Παύλου.*[2]

Ἀδελφοὶ τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς, ὅσιος ἄκακος κεχωρισμένος τῶν ἁμαρτωλῶν. Des. f. 189r: *ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος· ἄλλος ἦχος Β'· οἱ ἱερεῖς σου κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.*

Puis la liturgie proprement dite:

Evangile selon S. Luc: *τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου. Des. καὶ ἐκβάλω.* Il manque ensuite un feuillet, qui contenait sans doute la fin de l'Evangile, et *l'Apostolos* de la liturgie.

A partir du feuillet 190r commence la *Vie*. Les feuillets qui la composent (190—210) forment un cahier certainement indépendant du ms proprement dit, et qui a été plus tard relié avec lui. L'écriture est de la même époque que celle du *codex* liturgique (le *ductus* paraît appartenir à la même école). Mais d'après M. C. R. Gregory, que j'ai consulté à ce propos, elle est non moins évidemment d'une autre main. D'ailleurs le format du parchemin était différent; les marges semblent avoir été rognées lors de la reliure. Tandis que la partie liturgique est un texte couvrant toute la page, le cahier hagiographique est écrit en deux colonnes.[3]

Le fait que les textes relatifs à S. Démétrianos, à la fin du cod. 789, sont de deux mains différentes, dont la première est celle du scribe même qui a écrit ce volume, s'explique, je crois, ainsi:

Le ms. était destiné à l'église de Chytri. Comme il arrive en pareil cas[4], le scribe l'a terminé par les documents relatifs au culte

---

1) Jo. 10, 9—16.

2) Hebr. 7, 26 — 8, 2.

3) Gardthausen (*Catal.*, p. 170) avait aussi reconnu cette différence entre les deux parties du manuscrit. Mais forcé d'aller vite, il n'avait pas lu entièrement le titre de la vie: *βίος καὶ πολιτεία τοῦ πατρὸς ἡμῶν . . . τριανοῦ ἐπισκόπου.*

4) Un autre ms. sinaïtique, le cod. 522 (non hagiographique) écrit pour l'higoumène Kyprianos du monastère de S. Nicolas de Calamizzi (Reggio; voir Byz. Zeitschrift II 619—620 et IV 61), porte à la fin les vies des SS. Cyprien

du Saint le plus vénéré de cette église. Il a écrit l'office. Pour la Vie, il s'est épargné la peine de la copier, et il a simplement incorporé au *codex* un fascicule qui la contenait.

De ce fascicule, composé sans doute de 3 quaternions (= 24 feuillets) nous n'avons plus que 20 feuillets; et le dernier (210) est en très mauvais état. Le verso est presque illisible.

Il me reste avant de terminer cette introduction, le devoir de remercier M. le professeur C. R. Gregory, de l'Université de Leipzig, qui pendant les heures pénibles de notre séjour commun au *θεοβάδιστον Ὄρος*[1], n'hésita pas à m'offrir son concours pour copier et collationner ce texte et voulut bien consacrer à ces *curae minores* les loisirs que lui avaient créés la malveillance vexatoire de quelques *Πανοσιώτατοι*.

* * *

et Nicolas. Peut être ne sera-t-il pas sans intérêt de faire connaître la souscription métrique de ce manuscrit, dont Gardthausen n'a copié que trois vers:

Ἔγραψε ταύτ[ην τὴ]ν ἱερὰν δέλτον
ὁ Λαυρέντιος αἱμύλως μονοτρόπως
πεισθεὶς κελεύσει καθηγέτου τιμίου
μάνδρας λογικῆς τῆς τῶν Καλαμιτζίων
Κυπριανοῦ στέργοντος Θεὸν ἀμέτρως,
ὃς ἐφθαρμένης οὔσης τῆς πρωτοτύπου
ἐῇ δαπάνῃ ἀνεκτήσατο ταύτην
πολλῇ τῇ σπουδῇ καὶ διαπύρῳ πόθῳ,
ὥς τι δὲ θεῖον καὶ σεβάσμιον δῶρον
τέθεικε τῷδε τῷ ὑπ' αὐτοῦ σεμνείῳ,
εἰς δόξαν εἰς ἔπαινον τῆς μακαρίας
καὶ ἀρχιφώτου ζωαρχικῆς τριάδος,
ἣν εὐμενῆ ἕξοι ὅταν τῶν τῇσδε
πρὸς τὴν ἐκεῖθεν μεταστῇ κληρουχίαν,
ἔχων εἰς τοῦτο θερμῶς ἐκλιπαροῦντα
τὸν λαμπρὸν ἐν θαύμασι θεῖον λαμπτῆρα
τὸν ἐκκλησίας Νικόλαον τὸν μέγαν,
καὶ Κυπριανὸν τὸ μονότροπον στέφος
τὸν (sic) *ἀγλαΐαις θαυμάτων παραδόξων*
καταλαμπρύναν τὸ περίγειον ἅπαν.
Εὗρε δὲ τέλος ἕκτης χιλιοντάδος
ἄρτι τρεχούσης, πεντήκοντα σὺν ταύτῃ
πρὸς τοῖς ἑκατὸν συμμετρουμένοις
κἀρτίως πρὸς τὸν μέσον μῆνα τοῦ χρόνου.

1) Cf. K. Krumbacher, *Die Photographie im Dienste der Geisteswissenschaften*, p. 647 (= 47 du tirage à part).

Dans ce qui suit les crochets simples [ ] indiquent les restitutions, les crochets doubles ⟦ ⟧ les interpolations que nous retranchons du texte, et le signe ⟨ ⟩ les additions.

Βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις καὶ θαυματουργοῦ πατρὸς ἡμῶν f. 190r *Δημητριανοῦ, ἐπισκόπου Χυτρίδων, μιᾶς τῶν ὑπὸ τὴν Κυπρίων νῆσον ⟨πόλεων⟩. Εὐλόγησον Κύριε.*

Ἡ παντουργὸς καὶ ὑπερούσιος καὶ παντεπίσκοπος μία θεότης καὶ δύναμις, ἡ συνανάρχως καὶ ὁμοφυῶς καὶ ὁμοσθενῶς νοουμένη τρισυ- 5 *πόστατος φύσις, ἡ ἐκ πάντων ὁμοίως γινωσκομένη τε καὶ κηρυττομένη — ἔκ τε τῶν περὶ αὐτὴν ἰδιωμάτων, καὶ τῶν δευτέρων ἐξ αὐτῆς εἰλιχόων τάξεων, λέγω δή, τῶν ἀγγελικῶν καὶ ὑπερκοσμίων δυνάμεων, τρίτην τε τὴν ἐν ἡμῖν ἐκ τῶν ὁρωμένων καὶ νοουμένων καλῶς φυραθεῖσαν οὐσίαν — ἡ τόδε τὸ πᾶν διακοσμήσασα, καὶ εἰς κάλλος καὶ* 10 *μέγεθος αὐξήσασα, καὶ ποικίλης ἐξ ἁπάντων τῶν ὑπ' αὐτῆς γεγονότων κτισμάτων, τῇ προνοητικῇ δυνάμει, πάσῃ ζωτικῇ αἰσθήσει τὴν λειτουργίαν κατασκευάσασα, ἡ καιροὺς καὶ χρόνους καὶ ἡμέρας καὶ ἐνιαυτοὺς τῇ τῶν ἄστρων φορᾷ διαλλάττουσα, ἡ ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀλόγως γινωσκομένη τε καὶ κηρυττομένη κατὰ τὸ λόγιον, ἡ δια-* 15 *κρατοῦσα καὶ | συμβιβάζουσα πάντα εἰς μίαν δοξολογίαν καὶ ἕνωσιν* f. 190v *τῶν τριαδικῶν ὑποστάσεων τῆς μιᾶς καὶ ἀχράντου θεότητος, ἐκ τῆς ἐπ' ἐσχάτων τῶν χρόνων γενομένης παγκοσμίου σωτηρίας διὰ τῆς τοῦ μονογενοῦς Θεοῦ Λόγου ἐνσάρκου οἰκονομίας, πᾶσαν ἁγιωσύνης ὁδὸν τῷ τῶν ἀνθρώπων ὑπανοίξασα γένει, εὐδόκησε τὸν ἄνω κόσμον διὰ* 20 *τούτων ἀναπληρωθῆναι, καὶ γενέσθαι τοὺς ἐπὶ γῆς οὐρανίους, κατὰ τὸν ἀνυπέρβλητον πλοῦτον τῆς ἐμφύτου ἀγαθότητος, πᾶσι προκειμένη διὰ τῶν ἐμπράκτων αὐτουργημάτων ποικίλη πρὸς σωτηρίαν ὁδός. Οὐ γὰρ λόγῳ μόνῳ ὁ τοῦ Θεοῦ πατρὸς λόγος ἐπιδημήσας ἡμῖν τὸ τῆς εὐσεβείας μυστήριον ἔδειξε — τοῦτο γὰρ ἑλληνικῆς σκαιομυθίας ἐφεύρε-* 25 *μα — ἀλλ' ἐν οἷς αὐτὸς ὁ Ἰησοῦς ἀπήρξατο ποιεῖν, καὶ τὴν διδασκαλίαν ἐσφράγισε· ἀθάνατος γὰρ αὕτη ἡ τῆς νομοθεσίας στήλη δι' αὐτῶν τῶν πραγμάτων ἐναργεῖς παριστῶσα τῶν θείων γραμμάτων τὰς μαρτυρίας· δι' αὐτῆς καθ' ἑκάστην γενεὰν οἱ συμμορφούμενοι τούτῳ τῷ πάθει καὶ κοινωνοὶ τῆς αὐτοῦ δόξης γενέσθαι καταξιούμενοι, οὓς καὶ προωρισ-* 30 *μένους ὁ μέγας ἀπόστολος Παῦλος προέφησε, ὑπὸ τῆς αὐτοῦ πυ|ρω-* f. 191r

2 *δημιτριανοῦ* presque toujours | *μιὰσ τῶν ὑπὸ τῶν* K | *νῆσσον* ‖ 5 *συνάναρχος* ‖ 12 *προνοητικεῖ δυνάμη* | *πάση ζωτική* ‖ 14. 15 *κτησμάτων* ‖ 16 *εἰ* ‖ 20 *τὸ* ‖ 22 *πάση* ‖ 29 *διὰ τῆς* | *τοῦτο*

8 *εἰλιχόων.* Mot inconnu, probablement corrompu (*μειλιχίων? ἡλιοχρόων?*). 30—31 Rom. 8, 29.

θέντες ἀγάπης καὶ ὅλον τὸ τοῦ φίλτρου ἱστίον πρὸς αὐτὸν ἀναπετάσαντες πρὸς τὸν εὔδιον λιμένα τῆς τούτου συναφείας κατήντησαν. Ὅθεν καὶ τὸ φιλόνεικον ἐν τούτῳ μόνῳ ἐκτήσαντο, καίτοι τἄλλα εἰρη-
35 νικοί τε ἐν ἑαυτοῖς καὶ πᾶσιν ὄντες, ὥστε ἀλλήλους ὑπερβάλλειν ἐν τῇ κατ' ἀρετὴν ἀσκήσει — καὶ τοῦτο πάλιν οὐ βασκάνως οὐδὲ ἀνελευθέρως, ἀλλὰ καὶ λίαν ⟨ἀν⟩επιφθόνως. Πᾶν γάρ, ὃ ἕκαστος ἑαυτῷ ἐθησαύρισε, τῷ πλησίον διακονεῖν οὐ κατώκνησε. Ἐν τούτῳ γὰρ καὶ ἡ τῶν πραττομένων σπουδή, ἵνα διὰ τῆς ἀλλήλων οἰκοδομῆς τῇ πρώτῃ
40 συνδεσμούμενοι ἀγάπῃ εἰς μίαν Θεοῦ δόξαν συντρέχωσιν. Ἐπειδὴ δὲ πολλὰς μονὰς παρὰ τοῦ σωτῆρος ἐν τῇ τοῦ πατρὸς οἰκίᾳ εἶναι διδασκόμεθα, τοῦ λόγου δηλοῦντος τὸ τῶν ἀμοιβῶν διάφορον κατὰ τὴν ἀναλογίαν τῶν ἑκάστῳ βεβιωμένων, μία δὲ ἡ τοῦ Χριστοῦ βασιλεία, ἡ πάντας τοὺς ἐν τῷ τοῦ βίου σκάμματι ἀγωνισαμένους ὑποδεχομένη, ἐπ' ἴσης
45 πᾶσι παρέχουσα τὴν ἐκ τῆς ἡδονῆς ἀνάδοσιν τῷ ὑστερουμένῳ τε καὶ ἐλαττουμένῳ, κατὰ τὴν ἀνταπόδοσιν — ἀπέδρα γὰρ ἐν ταύτῃ πᾶσα ὀδύνη, λύπη τε καὶ στεναγμός — εἰκότως καὶ τοῖς ἐνταῦθα ἀγωνιζομένοις ἡ τῶν
f. 191^v ἀρε|τῶν ποικιλία παρέπεται. Τοῦτο δὲ λέγω οὐχ ὅτι δίκαιον ἔστιν κληθῆναί τινα μὴ πᾶσαν ἀρετὴν κατορθώσαντα. Καὶ γὰρ διαρρήδην
50 περὶ τούτου ὁ μακαριώτατος ἀπόστολος Ἰάκωβος ἐδήλωσε λέγων· ὅστις ὅλον τὸν νόμον τηρήσει, πταίσει δὲ ἐν ἑνί, γέγονε πάντων ἔνοχος. Ἀλλὰ τῶν ἀρετῶν μὲν ἁπάντων (sic) οἱ δίκαιοι μέτοχοι γεγόνασι, κατὰ τὴν δεδομένην ἑκάστῳ ὑπὸ τοῦ πνεύματος δύναμιν, κατ' ἐκεῖνο δὲ τὸ μέρος ἕκαστος καὶ τὸν ὕμνον ἐδέξατο, καθ' ὅσον ὑπερκειμένη τῆς αὐτοῦ
55 δόξης ἡ ἀρετὴ ἔσχε τὸ πλεονέκτημα. Ἔνθεν Ἀβραὰμ ἐπὶ τῷ φιλοξένῳ θαυμαζόμενος τρόπῳ, ἐν οὐδενὶ τῶν ἁπάντων μερῶν τῆς ἀρετῆς ἐδείκνυτο ὑστερούμενος. Ἐκ πίστεως γὰρ καὶ ἐλπίδος τὸ ἐνυπόστατον τῶν οὐ βλεπομένων πραγμάτων βεβαιωθεὶς ταῖς ἐπαγγελίαις, τῇ τοῦ Θεοῦ διαπύρως ἀγάπῃ συνεδέθη· ὅθεν καὶ πατρῴαν γῆν καταλέλοιπεν, καὶ
60 τὴν ἀλλοτρίαν ὡς ἰδίαν κατῴκησε, τῷ αὐτοῦ μὴ ἀπειθήσας προστάγματι. Ἐκ τῶν ἀναγράπτων δὲ τριῶν ἀρετῶν, πᾶσα καὶ ἡ τῶν ἄλλων ὁμήγυρις τούτῳ συνείπετο· διὸ καὶ τῶν ἐπαγγελιῶν ⟨οὐ⟩ διήμαρτεν, πατὴρ ἁπάντων χρηματίσας ἐθνῶν κατὰ τὴν ὑπόσχεσιν. Οὕτως
f. 192^r Ἰσαὰκ εἰς τύπον τῆς καινῆς θυσίας, πατρικῷ πι|θήσας θελήματι,
65 ἀθύτως προσενεχθείς, καὶ προφητικοῦ μετασχὼν χαρίσματος, ἐπὶ τῷ

32 ἵστεῖον | αὐτοὺς ‖ 33 τοῦτον ‖ 34 φιλονικον ‖ 37 λίαν ἐπιφθόνως (ἀνεπιφθόνως ne se trouve point ailleurs, mais l'adverbe négatif est absolument nécessaire) ‖ 38 τὸ . κατώκεισε ‖ 40 σὺν δεσμούμενοι ‖ 41 μονᾶς | οἰκεία ‖ 45 πάσῃ | ἀνάδωσιν ‖ 46 ἀνταπόδωσιν ‖ 49 διαρρίδην ‖ 51 πταίσι ‖ 55 Ἀβραάμ ‖ 57 τῷ ἐνυπ. ‖ 59 ou διαπύρῳ? | καταλέλειπεν ‖ 60 τὸ ‖ 62 συνήπετο | οὐ addidi ‖ 64 πειθήσας

41 Ioann. 14, 2. 46—47 Is. 35, 10. 51, 11. 50 suiv. Iac. 2, 10.

τῶν εὐλογιῶν μερισμῷ, πασῶν τῶν ἀρετῶν ὑπῆρχεν ἀνάπλεος. Οὕτως Ἰακὼβ ἐφ' ἁπλότητι καὶ ἀκακίᾳ μαρτυρηθεὶς οὐδενὶ τῶν ἄλλων μερῶν τῆς ἀρετῆς ἀπελείπετο. Οὕτως Ἰωσὴφ ἐπὶ σωφροσύνῃ βοώμενος διὰ τὸ κατ' αὐτοῦ ἐκτιναγὲν πορνικὸν βέλος τῆς Αἰγυπτίας, οὐδεμιᾶς τῶν ἑτέρων τριῶν γενικῶν ἀρετῶν ἔρημος ἦν. Αὐτίκα γὰρ τῇ τῆς ἀνδρείας 70 στερρότητι τὴν πρὸς τοὺς ἀδελφοὺς ἀμνησικακίαν τελείως ἐπεδείξατο, καὶ τῇ τῆς φρονήσεως πάλιν ἀρετῇ τῶν ἐνυπνίων τὰς συγκρίσεις ἐξεῖπεν, δικαιοσύνῃ δὲ διῴκησεν Αἴγυπτον. Οὕτως Ἰὼβ ἐπὶ τῇ τῶν πειρασμῶν ὑπομονῇ ᾀδόμενος, οὐδενὶ δεύτερος τῶν ἄλλων γέγονεν ἁπάντων. Ὑπὸ τῆς θείας γὰρ φωνῆς μεμαρτύρηται ἄμεμπτος, ἄκακος, θεοσεβής, ἀπε- 75 χόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. Οὕτως Μωϋσῆς πρᾳότατος παρὰ πάντας μαρτυρούμενος ἀνθρώπους, ἰσοταχῶς τὰς ἄλλας συμπεριέλαβεν ἀρετάς. Οὕτως Ἀαρὼν ὁ πρῶτος ἱερεὺς καὶ ἀδελφὸς τούτου ἐπὶ ἁγιωσύνῃ χρηματίσας συμπε|ριεκτικωτέραν ἔσχε τῆς ἀρετῆς ἐν ἑαυτῷ f. 192[v] τὴν ἀνάληψιν. Οὕτως Ἰησοῦς μὲν ἐπὶ ἀνδρείᾳ, στρατηγίᾳ τε καὶ 80 κληροδοσίᾳ τῆς παρὰ Θεοῦ ἐπηγγελμένης γῆς, Σαμουὴλ δὲ ἐν τοῖς ἐπικαλουμένοις τὸν κύριον, Δαυὶδ ἐπὶ ἀκακίᾳ καὶ πρᾳότητι καὶ ἀμνησικακίᾳ, ἐξ ὧν κατὰ τὴν τοῦ Θεοῦ καρδίαν ἀνὴρ ὠνόμασται, καὶ τῶν λοιπῶν ἕκαστος τῶν εὐαρεστηκότων τῷ κυρίῳ ἐκ τῶν μερικῶν τῆς ἀρετῆς πλεονεκτημάτων, τὸ ὅλον τούτων ἀποδείξαντες ὕφασμα, εἰκότως 85 καὶ τοῦ τῆς δικαιοσύνης ὀνόματος τετυχήκασι· καὶ γὰρ αὕτη μία τῶν γενικῶν ἀρετῶν ὑπάρχουσα, πασῶν ὑπέρκειται τῷ ὀνόματι· ὡς ἐν ἑαυτῇ δεξιουμένη τὴν τῶν λοιπῶν ὑποδοχὴν καὶ μόνη τῷ τῶν ἁπασῶν καλλωπιζομένη ὀνόματι. Οὐ μόνον δὲ τῶν παλαιῶν ἀνδρῶν ἡ διήγησις ποικίλας ἡμῖν προβάλλει τὰς τῶν ἀρετῶν καλοκἀγαθίας, ἀλλὰ πολλῷ 90 μᾶλλον τῶν τῆς νέας ἀπολαυσάντων χάριτος τῆς ἐν Χριστῷ Ἰησοῦ γενομένης, διαφερόντως καὶ ἡ τῶν ἀρετῶν τελειότης ἐπηκολούθησεν (εἴπερ ὁ νόμος μὲν ἐν σκιαῖς, ἡ δὲ χάρις κατὰ ἀλήθειαν)· ἔνθεν ἀνέλαμψαν ἐκ τῶν πρώτως δεξαμένων τὸ τῆς διδασκαλίας ταύτης μυστήριον | ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντος Θεοῦ, ἄνθρωποι, οὐδὲν f. 193[r] ἢ μικρὸν τῶν πρώτων παραδειγμάτων λειπόμενοι. Διὰ τοῦτο καὶ ὁ 96 θεῖος σπόρος εἷς μέν, ἀλλὰ διάφορα τὰ φυόμενα· σπόρον δὲ λέγω, τὸν ἐν τῇ καλῇ καὶ ἀγαθῇ πεπτωκότα γῇ, ἐξ οὗ καὶ ἡ καρποφορία ἐν τριάκοντα καὶ ἐν ἑξήκοντα καὶ ἐν ἑκατόν, καθὼς ἐν τοῖς Εὐαγγελίοις ἠκού-

69 *οὐδενί*. Bien que cette erreur (le masculin pour le féminin) ne soit pas impossible sous la plume d'un auteur tardif, nous préférons croire à une simple distraction de copiste, causée par la suite presque semblable des mots de la ligne 67 ‖ 81 *ἐπιγγελμένης* ‖ 86 *τετυχίκασι* ‖ 88. 89 *καλλοπιζομένη* ‖ 92 *ἐπικολούθησεν* ‖ 94 *πρώτος*

96—99 Matth. 13, 1—9. Mc. 4, 1—9. Luc. 8, 4—8.

100 σαμεν. Καὶ ἡ μὲν τῆς γεωργίας διαφορὰ κατά τε αὔξησιν καὶ μείωσιν δήλη τοῖς ἀναγινώσκουσι, ἡ δὲ τῶν καιρῶν ἐναλλαγὴ τοῖς ἀμελεστέροις ὑποτιθεμένη τὸ ἀδύνατον μέχρι τούτων τὴν ἀρετὴν περιορίζειν ὑποβάλλει, μήτε τὸ συγγενὲς ἀναλογιζομένοις τῆς φύσεως τῶν ἀνδρῶν, μήτε τὴν τῆς θείας δυνάμεως ἐνέργειαν εἰς ἀεὶ διαμένειν ἀναλλοίωτον, ἀλλὰ 105 τοσοῦτον τὴν χαύνωσιν αὔξουσιν, ὡς ἂν τῶν ψυχικῶν δυνάμεων κατακρατῆσαι ἰσχύσειεν. Ὅμως εἰ καὶ τῶν ἀμελέστερον βιούντων ἔκλυτος ἡ προθυμία, καὶ μόνῃ τῇ τῆς ἀσθενείας ἐπερειδομένη αἰτίᾳ τῶν τῆς ἀρετῆς διαμαρτάνει καλῶν, ἀλλ' οὖν ἡ τῶν μεγάλων πραγμάτων πρόνοια οὐ παύεται κατὰ γενεὰν καὶ γενεὰν τοὺς αὐτῆς ἀξίους εἰς ἐπανόρf. 193^v θωσιν τῶν κειμένων ἐγείρουσα, ἵνα | οἱ τοῖς πρώτοις μὴ πειθόμενοι 111 παραδείγμασιν, ἐγγύθεν τὰς ἀφορμὰς ἔχοντες πρὸς μίμησιν διϋπνίζωνται· εἰ γὰρ καὶ ὁ τῶν μαρτυρικῶν στεφάνων νῦν καιρὸς ἐπιλέλοιπε, διὰ τὴν δεδομένην Θεοῦ χάριτι παντὶ τῷ κόσμῳ ἐλευθερίαν τῆς εἰδωλικῆς πλάνης, ἀλλ' οὖν πρόκειται πᾶσι τοῖς βουλομένοις τὸ τοῦ συνει- 115 δότος μαρτύριον πρὸς ἀνταγωνιστὴν βιαιότατον, τὸν ἄρχοντα λέγω τοῦ σκότους, καὶ τὰ τῆς πονηρίας πνεύματα, ὧν τοῖς περιγινομένοις οὐ κότινος ὀλυμπικὸς ἢ μῆλα δελφικὰ ⟦παίγνια⟧ δίδοται τὸ ἀγώνισμα, ἀλλὰ τῶν ἄνωθεν βραβείων καὶ στεφάνων τὰ ἔπαθλα· ἐπ' ἴσης τοῖς ἐντέχνως δι' ἅλματος ὑποβᾶσι τὸν ἀντίπαλον, καὶ τοῖς τοῦ ἀγωνοθέτου

---

103 ἀναλογιζομένη ‖ 105 αὔξουσαν | ὅσα ‖ 106 ἀμελεστέρων ‖ 107 ἐπαιριδομένη ‖ 110 τῆς ‖ 111 ἐγγῦθεν ‖ 111. 112 διύπνίζονται | ἐπιλέλυπε ‖ 114. 115 συνειδότως ‖ 116 ὤν ‖ 116. 117 οὐκ ὅτινος ‖ 118 ἐπείσης ‖ 119 αἵματος ὑποβάση

---

100 suiv. Je crois que la double correction de *ἀναλογιζομένη* en *ἀναλογιζομένοις*, et de *αὔξουσαν* en *αὔξουσιν*, permet de trouver un sens relativement clair à cette période, au premier abord fort embrouillée. — *Μέχρι τούτων τὴν ἀρετὴν περιορίζειν ὑποβάλλει.* Les changements fréquents de la température (ou des circonstances) engagent les hommes à *réserver* leur vertu pour une occasion favorable. Le sens ne serait-il pas plus satisfaisant si au lieu de *τὴν ἀρετήν* on écrivait *τὸν ἄροτον*?

119 *δι' αἵματος ὑποβᾶσι τὸν ἀντίπαλον.* Ce texte est peu intelligible. *Αἷμα* n'a rien à faire ici, puisque „le temps des martyrs est passé". *Ὑποβαίνω* ne se rencontre que très rarement dans le sens de *ὑποχωρῶ* (v. Thesaurus s. v.); mais c'est bien cette signification qu'il doit avoir ici. La construction avec l'accusatif s'explique, elle aussi, par l'analogie de *ὑποχωρῶ*. Cf. notamment Lucien, Toxar. c. 36 *ὑποχωρῶμεν τοὺς ἐπιόντας.* L'auteur veut donc dire que seront récompensés non seulement ceux qui vaincront Satan, mais encore ceux qui lui échapperont par une retraite habile (*ἐντέχνως*). Or la plus rapide retraite, le plus efficace moyen d'éviter un corps à corps dangereux, c'est le bond en arrière: *δι' ἅλματος.*

δόξης ἠξιωμένοις· οὐδεὶς δὲ πράγμασιν ὑλικοῖς συνδεδεμένος καὶ πάσῃ 120
τῇ περὶ τὸν βίον ῥαστώνῃ, τὸν νικητήριον τοῦτον τῆς ἀθλήσεως ἀναδήσασθαι δυνήσεται στέφανον· ἀλλ' ὁ ἑαυτὸν διὰ τῆς παντελοῦς τοῦ κόσμου σταυρώσεως ἔξω πάντων ποιήσας τῶν ἐπιγείων, οὗτος τῶν τελείων τῆς ἀρετῆς τεύξεται πλεονεκτημάτων· ἐξ ὧν πάλιν ἵνα μὴ καὶ οὗτος καταστρατηγῇ τὸ ἀδύνατον, διάφοροι τῶν | ἀρετῶν ἀναθάλ- f. 194r
λουσιν αἱ βλαστήσεις· οἱ μὲν γὰρ τὸν πάντη μοναδικὸν ἀσπάζονται βίον, 126
θεῷ μόνῳ συγγινόμενοι καὶ ἀθλητικὴν μονίαν ἀνύοντες, οἱ δὲ σὺν ὁμοψύχοις δυσὶ ἢ τρισὶ ἀλλήλους πρὸς ἀρετὴν παραθήγοντες, ὁμοφρόνως βιοῦσιν· οἱ δὲ μεγίστῃ συμμορία γενόμενοι, ὡς παράδεισος Θεοῦ ποικίλοις δένδροις κατακοσμούμενος διαφόρους καρποφορίας τῷ κυρίῳ 130
προσφέρουσιν. Εἰσὶ δὲ τούτων οἳ πᾶσαν εἰς κάλλος καὶ μέγεθος αὐξήσαντες ἀρετὴν, καὶ πρὸς τὸ τέλος αὐτῆς καταντήσαντες, ὑπὸ τῆς ἄνωθεν χάριτος ἐπὶ μείζοσι προβαλοῦνται βαθμοῖς, καὶ τῶν ἑπομένων τοῖς ἐρημικοῖς ἀρετῶν διὰ τὴν σπάνιν ἀπολειφθῆναι μὴ καταλιμπανόμενοι, ἀλλὰ καὶ προσκαλούμενοι καὶ ἐκ δόξης εἰς δόξαν μετοχετευόμενοι, 135
πλειόνων καὶ τῶν χαρισμάτων καταξιοῦνται τοῦ πνεύματος. Ὧν εἷς ὑπάρχει καὶ ὁ νῦν ἡμῖν εἰς εὐφημίαν προκείμενος Δημητριανὸς ὁ μακαριώτατος, οὗ τὸν βίον καὶ τὰ θαύματα προτραπεὶς παρ' ὑμῶν, ἱερώτατοι, ἐντάξαι τῷδε τῷ διηγήματι, κοινὸν τοῖς ἀκούουσιν ὄφελος, λίαν ἐπὶ τούτῳ ἰλιγγίασα, τῆς ἐμῆς ἀμαθίας καὶ ἀτέχνου | τοῦ λόγου κατα- f. 194v
σκευῆς τὸν κίνδυνον ὑφορώμενος, ὅμως ταῖς τοῦ νῦν εὐφημουμένου 141
ἱερωτάτου πατρὸς πρεσβείαις τεθαρρηκὼς τῆς προκειμένης ἀπάρχομαι διηγήσεως·

Δημητριανὸς τοίνυν ὁ ἅγιος τὸ γένος ἦν Κύπριος ὑπὸ τὴν ἐπαρχίαν τελῶν τῆς Χυτρίδων πόλεως, ἐκ κώμης τινὸς ὁρμώμενος καλου- 145
μένης Συκαῖς, πατρὸς μὲν λίαν ἐναρέτου καὶ φοβουμένου τὸν Κύριον, ὃς καὶ διὰ τὴν τῆς ἀρετῆς ὑπερβολὴν τῷ τῆς ἱερωσύνης κατεκοσμεῖτο ἀξιώματι· πρεσβύτερος γὰρ ταύτης ὑπῆρχεν τῆς κώμης, ὡς καὶ πάντων τῶν ἐν ταύτῃ οἰκούντων κρατῶν, καὶ λίαν παρὰ πάντων φιλούμενός τε καὶ ἀγαπώμενος· μητρὸς δὲ λίαν εὐσεβοῦς καὶ φιλοθέου, ὡς εἶναι ταύ- 150
την ἐν γυναιξὶ τῶν τῆς κώμης, ὅπερ ἐν ἀνδράσιν ὁ πατὴρ ἐγνωρίζετο. Ἐκ ταύτης τῆς καλλίστης συζυγίας ὁ μέγας ἤνθησε Δημητριανὸς ἐν ἀρχῇ τῆς βασιλείας Θεοφίλου τοῦ μισοχρίστου βασιλέως. Ἐν τούτοις

---

120. 121 πᾶσι τῆς ‖ 123 οὕτως; qu'on pourrait à la rigueur conserver ‖ 126 τὸν πάντιμον ἄδικον ‖ 133 μείζωσι | Peut-être faut-il écrire προβάλλονται | λειπομένων ‖ 138 ἡμῶν ‖ 140 εἰλιγγίασα ‖ 145 τελῶν ‖ 151 Peut-être ταῖς est-il préférable à τῶν

140 καὶ τὸν νοῦν αὐτοῦ βεβαιῶσαι, δεινῶς ἰλιγγιῶντα ἐν τοῖς λογισμοῖς Vita Barl. et Joasaph p. 35 Boissonade.

τοῖς χρόνοις γεννηθεὶς ὁ τοῦ Θεοῦ ἄνθρωπος, μητρικῶν εὐθὺς ἐκ
155 σπαργάνων καθάπερ τις ἕτερος Σαμουὴλ τῷ τοῦ Θεοῦ κλήρῳ ἐγκατα-
λέγεται, καὶ πᾶσαν ἐκ νεαρᾶς ἡλικίας ἀσκήσας τὴν ἐν τοῖς θείοις ἤθεσί
f. 195ʳ τε καὶ | μαθήμασι παίδευσιν, τοῖς πατρικοῖς διέλαμπε κατορθώμασι.
Τούτῳ γὰρ ἐν πωλικῷ παραθέων φρυάγματι, τῶν ἴσων τρόπων οὐδὲ
τὸ βραχύτατον ἀπολειφθῆναι ἠνέσχετο. Ἐκ δὴ τούτων πάντας μὲν τοὺς
160 καθ' ἡλικίαν ἴσους ἢ καὶ ὑπερβεβηκότας ἦν ὑπερβάλλων, πᾶσιν δὲ τῶν
ὕστερον αὐτοῦ κατορθωμάτων ἐδίδου προβλέπειν τὸ μέγεθος, εἴπερ
ἐξ ὀνύχων καὶ λεοντός ἐστιν ἴχνη καταμαθεῖν τοῖς μὴ πάντη τυφλώτ-
τουσιν. Γενομένου δὲ αὐτοῦ πεντεκαιδεκαέτους καὶ ἡβήσ⟨αντος⟩, ἐκ
ταύτης τῆς ἡλικίας βουλὴν οἱ τοῦτον γεννήτορες βουλευσάμενοι τὴν
165 ἀκινδυνοτέραν [[ὁδὸν]] ὡς ᾤοντο πρὸς τὴν τῆς ψυχῆς φυλακήν, εἰ καὶ
δευτέραν πρὸς τὸ τῆς παρθενίας καλόν, νομίμῳ καθ' ὑπερβολὴν προσέ-
θεντο γάμῳ· καὶ τὸν ἀναντίλογον τοῦτον ὡς ἐν ἅπασι κατὰ πάντα
ὑπήκοον ἔχοντες, πείθουσι καὶ μὴ βουλόμενον τῷ γαμικῷ ὑποκῦψαι
ζυγῷ, καὶ δουλείαν τῆς ἐλευθέρου ζωῆς ἡγήσασθαι κρείττονα. Οἱ μὲν
170 οὖν οὕτως βουλευσάμενοι καὶ πέρας τῇ αὐτῶν ἐπιθέντες γνώμῃ, τῷ
νέῳ τὴν γαμήλιον ἑορτὴν ἐπετέλεσαν, κόρην τινὰ τῇ ὥρᾳ καὶ τῷ κάλλει
f. 195ᵛ διαφέρουσαν, καὶ ἀξίαν ἐν τοῖς ἤθεσι τῆς τούτου ψυχῆς, τού|τῳ
συζεύξαντες. Ὁ δέ γε φιλάνθρωπος Κύριος, ὁ γινώσκων τοὺς ὄντας αὐτοῦ
καὶ πρὸ γενέσεως, τάχιστα τῶν αὐτοῦ ἀγκαλῶν τὴν συζευχθεῖσαν ἀπέ-
175 ζευξε. Τριμηναίου γὰρ παρελθόντος μετὰ τὴν συνάφειαν χρόνου, ἡ
τοῦ μακαρίου Δημητριανοῦ σύνευνος τὸν ἀνθρώπινον μεταλλάττει βίον,
πρὸς δὲ τὸν ἄλυπον καὶ ἀμείνονα μετατίθεται, τῆς θείας προνοίας τῶν
ἀμφοτέρων τὸ συμφέρον οἰκονομησάσης καλῶς κατὰ τὸ ἄπειρον βάθος
τῆς αὐτοῦ (sic) ἀνεξιχνιάστου γνώσεως. Καὶ γὰρ ἀμφοῖν τὰ τῆς παρ-
180 θενίας σῷα διαφυλάξας σήμαντρα, οὕτω τὴν διάζευξιν ᾠκονόμησε·
κἀκείνην μὲν τῶν οὐρανίων θαλάμων σὺν ταῖς φρονίμοις καταξιώσας
παρθένοις, τῷ δὲ μειζόνων ἔργων καὶ στεφάνων ἐκ τούτου τοῦ
δράματος ὑπάρξας παραίτιος. Ὁ δὲ μακαριώτατος Δημητριανὸς τὸ ἐπ'
αὐτῷ γενόμενον θείας ἔργον εἶναι κρίνας προνοίας, πᾶσαν τὴν ἐξ
185 ἀθυμίας ἐπισυμβαίνουσαν ἐν τοῖς τοιούτοις ἀποτιναξάμενος λύπην, εἰς

158 πολικῷ ‖ 159 τὸν ‖ 163 ἥβης ‖ 165 ὁδὸν me paraît une interpolation ‖ 166. 167 προέθετο ‖ 171 κόριν ‖ 182 μειζώνων ‖ 183 δράγματος ‖ 185 ἀποτειναξάμενος

161. 162 Proverbe souvent cité dans la littérature hagiographique. *An. Boll.*, XIII (1894), p. 90, l. 26 Suppl. ad acta S. Lucae Junioris εἰ δὲ χρὴ καὶ ἀπὸ μικρῶν τινων συμβάντων οἷον ἐξ ὀνύχων φασὶ τὸν λέοντα . . . δεικνύειν. Mais il semble y avoir ici une contamination du proverbe et de l'expression ἐξ ἁπαλῶν ὀνύχων.

166. 167 προστίθεμαι· τοῦ μὲν πικροῦ τῆς ἀπάτης ἀφίσταντο σκότους, τῷ δὲ γλυκεῖ τῆς ἀληθείας φωτὶ προσετίθεντο. Vit. Barl. et Joas. p. 7 Boissonade.

εὐχαριστίαν δὲ κινήσας πᾶσαν αἴσθησιν, τοιοῖσδε πρὸς τὸν δεσπότην εὐχαριστηρίοις ἐχρήσατο ῥήμασι. „Σοί, Κύριε, παρατίθημι τὴν ἐκ πατρικοῦ βουλήματος δεδομένην μοι βοηθόν· τῷ σῷ γὰρ πειθόμενος προστάγματι, τοῖς αὐτοῦ οὐκ ἀντεῖπον θελήμασι. Σοῦ γὰρ τῷ νεύ- f. 196r ματι τὸν ὑποσκελισμὸν τῶν ἐμῶν ἀφείλου ποδῶν πανσόφως, τάχιστα 190 τὴν παγίδα συνθλάσας, καὶ ἀμέτοχόν με τῆς φθοροποιοῦ ἐργασάμενος ἁμαρτίας. Σοὶ θαρρῶν τὴν ἐμὴν ἀνατίθημι παρθενίαν, ἣν καὶ μετὰ τὴν συζυγίαν σῴαν ἐφύλαξας· σοὶ πάντα τὸν ἐμὸν προσάγω βίον διὰ τῆς πρὸς σὲ ὁλοψύχου εὐαρεστήσεως.“ Τούτοις καὶ ἑτέροις πλείοσι πρὸς τὸν Θεὸν χρησάμενος λόγοις, καὶ ἐκ τῆς συμπεσούσης αὐτῷ ἀθυ- 195 μίας διεγείρας ἑαυτόν, ὁ καὶ πρὸ τῆς πολιᾶς πολιός, περιαγαγών τε κύκλῳ τὸ τῆς ψυχῆς ὄμμα, ἐκ τῆς ἔξω περιπλανήσεως, καὶ εἰδὼς πάντα τὰ τοῦ βίου ὡς ἀνωφελῆ, ὡς μάταια, ὡς πάσης ὀνειρώδους τέρψεως εὐτελέστερα, χαίρειν πᾶσιν εἰπὼν καὶ αὐτοῖς τοῖς γεννήτορσι, μετανάστης πάντων τῶν τοῦ κόσμου γίνεται πραγμάτων, ὄρος δὲ τοῦτον 200 ἠλίβατον ὑποδέχεται, ἐν ᾧ μοναστήριον ὑπῆρχεν τοῦ μεγάλου φωστῆρος τῆς οἰκουμένης Ἀντωνίου, οὐ πολλῶν μὲν ἐν τούτῳ ἀσκουμένων διὰ τὸ λίαν τραχὺ τοῦ τόπου καὶ ἀπαράκλητον, πάντων μὲν ὅμως τελείων ἀνδρῶν καὶ ἐν μηδενὶ λειπομένων τῶν τῆς ἀρετῆς πλεονεκτημάτων. Οὓς ἰδὼν Δημητριανὸς ἐζήλω|σεν ἐν καλῷ· καὶ τέως μὲν καὶ πρὸ f. 196v τῆς ἀσκητικῆς παλαίστρας ἑαυτὸν ἐν τοῖς πόνοις ἐθίζων, νηστείαις καὶ 206 ἀγρυπνίαις καὶ ταῖς ἄλλαις κακοπαθείαις τὸ ἑαυτοῦ ἐγύμναζεν σῶμα, πάντων μὲν τῶν [[ὅσα]] πρὸς τὸ τῆς ἡδονῆς ἑλκόντων λεῖον ἀποστρεφόμενος· μόνην δὲ τὴν κακοπάθειαν τῆς δαψιλοῦς ἀεὶ προτιμῶν καρυκείας, ὡς ἐκ τῶν προοιμίων, πάντας τοὺς χρόνῳ καὶ ἡλικίᾳ προβεβη- 210 κότας ὑπερέβαλλεν ἐν τῇ κατὰ θεὸν ἀσκήσει, σπουδῇ τε καὶ προθυμίᾳ· ὅθεν ὁρῶντες τὴν τούτου καλλίστην ἀναστροφὴν οἱ τοῦ τόπου πατέρες, πρὸς τὴν τοῦ μονήρους βίου ἀμφίασιν τοῦτον παραινεῖν ἀπήρξαντο, τοιοῖσδε χρώμενοι ῥήμασι· Οὐ δίκαιόν σε, τέκνον, τοῦ σχήματος ἀλλοτριοῦσθαι, οὗ περ τοὺς τρόπους μετ' ἐπιστήμης ἀνύειν μεμάθηκας. 215 Τοίνυν εἰ ταῖς ἡμετέραις πείθῃ γνώμαις, καλῶς σοι συμβουλεύουσι· τάχιστα τούτῳ κατακοσμηθῆναι θέλησον, ὅπως πλείονα τὸν ἐκ τούτου δεξάμενος φωτισμὸν τῶν μυστικωτέρων τῆς ἀρετῆς κατορθωμάτων ἐπιτεύξῃ. Ὁ δὲ μακαριώτατος Δημητριανὸς τοῖς τῶν πατέρων λόγοις ἡσθείς, γονυπετῶν ἐλιπάρει τὰ καλῶς αὐτῷ παρ' αὐτῶν βεβουλευμένα 220 δεξιὸν | δέξασθαι πέρας, ἐπὶ τούτῳ γὰρ ἔφασκε πᾶσαν καταλελοιπέναι f. 197r κοσμικὴν προσπάθειαν καὶ γονέων φίλτρον, ἵνα τῆς τοιαύτης χάριτος

186 εὐχαριστείαν ‖ 190 ὑποσκελλισμόν ‖ 192 σὺ ‖ 195 χρησάμενον ‖ 196 πολιὰς πολιὰς ‖ 209 δαψιλοὺς ‖ 209. 210 καρυκίας ‖ 211 ὑπὲρ βάλλειν ‖ 213. 214 ἀπήρξατο, τοιοῖς δὲ ‖ 215 μετεπιστήμεις ‖ 218. 219 ἐπιτεύξει ‖ 221 τούτων | καταλελυπέναι

μέτοχος γένηται. Εὐθέως οὖν τῆς συνήθους ἐπ' αὐτῷ τελεσθείσης ἀκολουθοῦ τάξεως τῆς μοναχικῆς ἱερολογίας, τὸ οὐράνιον καὶ ἀγγελικὸν
225 *περιβάλλεται σχῆμα, οὗ τινος καταξιωθεὶς ὁ μακαριώτατος τοῖς προτέροις πόνοις πόνους προσετίθει, καὶ ἐπὶ τῷ προκαταβληθέντι θεμελίῳ καλῶς ἐπῳκοδόμησε χρυσόν, ἄργυρον, λίθους τιμίους καὶ τέσσαρας ἐν αὐτῷ οὐρανομήκεις στύλους πηξάμενος τὰς πασῶν ὑπερκειμένας ἀρετάς, φρόνησιν, ἀνδρείαν, σωφροσύνην καὶ δικαιοσύνην, τῷ κύκλῳ τῶν λοιπῶν*
230 *ἀρετῶν τούτους κατεστεφάνωσε· ἐξ ὧν ἄρτιον ἑαυτὸν οἶκον τοῦ παναγίου ἐργασάμενος πνεύματος, τῆς τούτου ὑποδοχῆς κατηξίωται οὗ τινος τῇ ἐπιδημίᾳ πᾶσα ἡ τῶν πονηρῶν δαιμόνων φάλαγξ μὴ εὑροῦσα παρείσδυσιν φροῦδος γίνεται. Ἔνθεν αὐτοκράτωρ ἁπάντων γενόμενος τῶν παθῶν. καὶ ἔξω τῆς αὐτῶν χρηματίσας ὀχλήσεως, τελείας ἐλευθερίας*
235 *ἀπήλαυσε. Ἐν γὰρ τῇ καλλίστῃ συζυγίᾳ τῆς πρακτικῆς ἀρετῆς, νηστείας*
f. 197ᵛ *τέ φημι | καὶ ἀγρυπνίας, τὰς ψυχικὰς νευρώσας δυνάμεις, τῶν σωματικῶν ἀνώτερος ἀπεφάνθη παθῶν. Τῶν δὲ ψυχικῶν δυνάμεων τοσοῦτον κατεκράτησεν, ὡς μηδὲ ὁρμὴν παρασχεῖν ταύτης τῆς παρὰ φύσιν ἐνεργείας, ἀλλ' ἣν ἐκ τοῦ δημιουργοῦ* [[*ἐκ*]] *τῶν ἀντικειμένων ἔσχεν διά-*
240 *κρισιν, ταύτην ἔχειν εἰς ἁπάντων τῶν ἀγαθῶν ἐπανάληψιν· τὸ δὲ τριμερὲς τῆς ψυχῆς ὡς θέμις οἰκονομήσας, τὸ ἀπηγορευμένον τούτου καλῶς ἀπεπέμψατο, κατανύξεως δὲ καὶ συννοίας τοσοῦτον ἐπεμελήθη, ὡς μηδὲ ὁρμὴν μειδιάματος προβάλλεσθαι πώποτε· εἴσω δὲ συννενευκὼς καὶ ἀεὶ Θεῷ τε καὶ ἑαυτῷ συγγινόμενος, τὰς ἀκαίρους φιλολαλίας ὑπεξέκλινεν·*
245 *ἔνθεν αὐτῷ τοσοῦτον ἐπεγένετο δακρύων πλῆθος, ὡς διὰ παντὸς ἐν νυκτὶ καὶ ἡμέρᾳ κοιταζομένῳ τε καὶ ἀνισταμένῳ καὶ τροφῆς μετέχοντι καὶ ποτοῦ, τούτων ὑπάρχειν ἀχώριστον. Ἐν δὲ ταῖς ἀγρύπνοις ἀναγνώσεσι καὶ πρὸς Θεὸν ὁμιλίαις τόσῳ μάλιστα ὁ τῶν δακρύων πλεονασμὸς αὐτῷ προσετίθετο, ὡς ἐπαρκοῦν εἰς πᾶσαν ἐργασίαν ἔχειν τοῦτο*
250 *ἀένναον, λέγω δὴ τὴν τῆς θείας ἀγάπης κίνησιν, τὴν κάθαρσιν τῶν ἐξ*
f. 198ʳ *ἀγνοίας ὀλισ|μάτων, τὴν τῆς κρίσεως ἔννοιαν, τὴν τοῦ θανάτου ἀνάμνησιν, τὴν ἀποκειμένην τοῖς ἁμαρτάνουσι κόλασιν, τῶν οὐρανίων μονῶν τὴν ἀνάμνησιν, τὴν τοῦ μετεωριζομένου ἀνάκλησιν, τὸν ἐκ συμπαθείας ἐπὶ τοῖς ἁμαρτάνουσιν εὐκτικῆς δεήσεως ἔλεον, καὶ πολλῶν*
255 *ἑτέρων τρόπων, ἐν οἷς ἅπασι τούτῳ τῷ καλλίστῳ κεχρημένος βοηθή-*

---

223 *τελεσθήσεις* ‖ 224 *ἀκολούθου* ‖ 225 *σχῆμα. οὐ τίνος* ‖ 226 *πρὸς ἐτέθη* ‖ 228 *οὐρανομίκης* | *πιξάμενος* ‖ 232 *πάσα* | *φύλαξ* ‖ 238 *ταύτης παραφύσιν* ‖ 239 *ἔσχον* ‖ 241 *ἀπειγορευμένον* ‖ 242 *ἐπεμελίθη* ‖ 243 *συνενευκῶς* ‖ 247 *ὑπάρχει* ‖ 249 *ἐπαρκεῖν* ‖ 255 *κεχριμένος*

---

254 et suiv. *πολλῶν ἑτέρων τρόπων.* L'auteur s'est évidemment embrouillé dans sa périphrase; les génitifs qui précèdent bien que dépendant tous d'accusatifs lui ont sans doute suggéré cette anacoluthe. La suite est difficile à construire. Dans tous ces exercices, usant de ce précieux auxiliaire (les larmes), il s'aidait lui-même

ματι, ἑαυτῷ τε καὶ τοῖς πέλας ἐξήρκει εἰς τὴν ἐκ τούτου γινομένην παράκλησιν, εἰ δέ που καὶ περισσοτέρας †ἐπιμελουμένῳ ταπεινοφροσύνης, εἰς ἁμαρτιῶν ἀνάμνησιν, ὧν αὐτῷ οὐ κατείργαστο, τοῦτο μετωχέτευεν· φιλοῦσι γὰρ αἱ φιλόθεοι ψυχαὶ ἐν ταῖς τοιαύταις ἐργασίαις μάλιστα ἑαυτὰς ὁρᾶν ὑποκάτωθεν πάσης τῆς κτίσεως. † Τί χρὴ λέγειν, ὅσων 260 ποταμίων ῥευμάτων τὰ ἐκ τούτων ῥεῖθρα μιμεῖσθαι εἰκάζοντι; Ἵνα δὲ μὴ μακρὸν ἀποτείνω λόγον τῶν τούτου δακρύων μεμνημένος τὸ πλῆθος, ὧν ἐκ τῆς θείας χάριτος ἐκεῖνος ἔσχε τὸ χάρισμα, ἐπὶ τὸ τῶν ἄλλων αὐτοῦ ἀρετῶν διήγημα τρέψω τὸν κάλαμον. Εὐχῆς μὲν γὰρ τοσοῦτον ἐπεμελήθη, ὡς ἑαυτὸν αὐτῷ τῷ Θεῷ συνάψαι, καὶ χωρῆσαι 265 τὴν αὐτοῦ φαντασίαν ὅσον τοῖς δεσμίοις ἐφεῖται τῆς σαρκὸς εἰς τοιαύτην κατανόησιν. Πρῶτον γὰρ ἐκ τῶν ποιη|μάτων καταμαθὼν ἀκριβῶς f. 198v τὴν τοῦ πάντα ποιήσαντος δύναμιν, καὶ ἐκ ταύτης φωτισθεὶς τῆς πρώτης ἐργασίας, εἶτα τῆς οἰκονομίας Χριστοῦ ἐξερευνήσας τὸ μέγεθος, καὶ συσταυρώσας ἑαυτὸν τῷ ὑπὲρ ἡμῶν ἐπὶ σταυροῦ τὰς χεῖρας γεν- 270 ναίως ἐκτείναντι, καὶ πάντας ὑπελθὼν τοὺς βαθμοὺς τοὺς πρὸς τελείωσιν ἀναφέροντας, οὕτω τῆς τῶν θείων μυστηρίων κατατρυφᾶν ἀξιοῦται μυήσεως τε καὶ ἀπολαύσεως διὰ τῆς ἔξω σαρκὸς ἐν σαρκὶ γινομένης τοῖς ἐπιμόνως ἐν ταύτῃ σχολάζουσιν συναφείας Θεοῦ καὶ μεγαλοδώρου φιλοτιμίας. Τὸν οὖν τοιαύταις σχολάζοντα θεωρίαις καὶ 275 πνευματικοῖς ἀριστεύμασιν οὐκ ἦν εἰκὸς ἀεὶ τοῖς πολλοῖς συναγελάζεσθαι, ἀλλ' ἐπὶ μικρὸν χρόνον ἑαυτὸν ἀποδιορίζων τῶν συνασκουμένων ἀδελφῶν, ἡνίκα πλείονος ἔρωτος τῆς πρὸς Θεὸν ὁμιλίας ἐκάλει καιρὸς, καὶ τοὺς ἄκρως ἡσυχωτέρους καταλαμβάνων τόπους τοῦ ὄρους, τὴν τῆς ἐπιθυμίας φλεγμονὴν ἀνέψυχεν. Καὶ ταύτης ὅσον ἐβούλετο κορεν- 280 νύμενος, πάλιν ἑαυτὸν τούτοις συγκατεμίγνυ, τὸ τοῦ τύφου κέρας κλῶν πανσόφως καὶ ἀπρόσκοπος τοῖς τῶν βασκάνων ὀφθαλμοῖς ἀεὶ φυλαττόμενος. | Τοσούτοις δὲ κατορθώμασι φαιδρυνόμενος, ἀνάξιον f. 199r ἑαυτὸν πάσης ἡγεῖτο τῆς ἀδελφότητος τῷ τῆς ταπεινοφροσύνης κάλῳ ταινιούμενος. Πᾶν γὰρ τὸ κατορθούμενον ταύτης χωρὶς ἀκατόρθωτον 285

268 παντὸς || 274 γινομένοις || 278 καιρὸν || 280 φθεγμονήν || 281 ἑαυτούς | 282 ἀπρόκοπος || 284 καλῷ

et il aidait son prochain εἰς τὴν παράκλησιν, à obtenir la consolation qui est le fruit des larmes. Le datif ἐπιμελουμένῳ est injustifiable. Il faudrait ἐπιμελούμενος ou ἐπεμελεῖτο· ὧν, accord du relatif. Lorsqu'il voulait atteindre à plus d'humilité encore, (il se servait de ce moyen) pour aboutir à la repentance de péchés qu'il n'avait pas commis. Cf. Macch. 1, 29 καὶ πάντα τρόπον μετοχετεύειν.

260 et suiv. Cette phrase obscure deviendrait à peu près claire si l'on avait: τί χρὴ λέγειν, ὅσων ποταμίων ῥευμάτων (τὸν) τὰ ἐκ τούτων ῥεῖθρα εἰκάζοντα (sc. χρὴ) μιμεῖσθαι. Que dire! Quels torrents devrait imiter (par son discours) celui qui voudrait évaluer la quantité des larmes versées!

καὶ ἀνεπιστήρικτον· τάχιστα γὰρ κυλίνδρου δίκην τῶν ἐπιβεβηκότων ἐπὶ ταύτης τῆς βάσεως ὑπεκτρέχον, ἐλεεινῷ πτώματι τοὺς ἐκπίπτοντας ὑποβάλλει. Συνεπηκολούθει δὲ τούτοις τοῖς κατορθώμασι καὶ ἡ οὐρανοπολῖτις ἐν σαρκὶ ἀπάθεια, ἧς ὁ πανδαμάτωρ τῶν παθῶν καταξίωται 290 διὰ τὴν προκατορθωθεῖσαν τούτῳ τῶν τρόπων εὐθύτητα. Ἐκ δὴ τούτων καὶ τῶν τοιούτων, οὐδὲ τῶν τοῦ πνεύματος χαρισμάτων γέγονεν ἄμοιρος. Ἔνθεν νοσήματα χαλεπὰ τῷ τοῦ Δημητριανοῦ λόγῳ ἐφυγαδεύοντο, δαίμονες ἀπηλαύνοντο, παθῶν παντοίων ἡ θεραπεία ἐπηκολούθει. Ἦν οὖν ἐν μέσῳ τοῦ πνευματικοῦ συστήματος οἷα φωστὴρ 295 παμφαὴς πάντας καταυγάζων τῇ λάμψει τῶν οἰκείων κατορθωμάτων, καὶ τύπος ὠφελείας γινόμενος τοῖς πρὸς αὐτὸν ἀτενῶς ἀεὶ βλέπουσι· οὐ μόνον δὲ τούτοις τοιοῦτος ἦν, ἀλλὰ καὶ τοὺς ἐν μέσῳ στρεφομένους f. 199ᵛ τοῦ κόσμου, ὡς μαγνήτης ἕλκων παραπλήσιον | σιδήρῳ, τῆς οἰκείας ὠφελείας μετεδίδου· πολλοὺς δὲ τούτων καὶ τῆς τῶν ὀχλούντων παθῶν 300 ἕνεκα θεραπείας, τὸ βιαιότατον τῆς ἀνάγκης πρὸς τοῦτον κατήπειγεν· οὐδεὶς δὲ τῶν ἐλπίδων κενὸς ἀπεπέμπετο, ἀλλὰ πάντες τῶν ποθουμένων δαψιλῶς ἀπολαβόντες, χαίροντες τὰ οἰκεῖα κατελάμβανον. Καὶ γὰρ καὶ τοῖς θεραπείας ἕνεκα παραγινομένοις, προηγουμένως τὴν ψυχικὴν ὠφέλειαν διὰ τῆς διδασκαλίας προετίθει, καὶ οὐ πρότερον ἡ τῶν σωματικῶν ἐπη- 305 κολούθει παθῶν ἀπαλλαγή, πρὶν ἡ τῆς ψυχικῆς δυνάμεως χωλεύουσα ἐνέργεια τὴν θεραπείαν ἐδέχετο· εἶθ' οὕτως δευτέρᾳ τάξει τὸ σωματικῶς ἀρρωστοῦν ὑγιάζεται· καὶ ἦν ὁ αὐτὸς ἡδὺς ἅπασι καὶ τοῖς παρὰ τοῦ σωτῆρος δι' αὐτοῦ δεχομένοις τὴν θεραπείαν, καὶ τοῖς διὰ θείαν τινὰ οἰκονομίαν ταύτης ἀστοχοῦσι τῆς χάριτος· τοῖς μὲν γὰρ εὐεργέτης, 310 τοῖς δὲ παράκλησις γινόμενος, πάντας ἀλύπως ἀπέπεμπε. Ἡ γὰρ τοῦ λόγου τούτου ὠφέλεια πάσης θεραπείας τῷ ταύτης ὑστερουμένῳ χρησιμωτέρα ἐγίνετο. Διὸ καὶ πάντες καὶ τὴν νουθεσίαν καὶ τὴν θεραπείαν ὡς ἐκ θείας ἐνεργείας λαμβάνοντες, σὺν μεγίστῃ εὐφροσύνῃ ὑπέστρεφον. f. 200ʳ Ταύτης τῆς φήμης | καὶ ὁ τῆς Χυτρίδων πόλεως ἐπίσκοπος Εὐστάθιος 315 ἔργον ἐγένετο — ἀληθὴς γὰρ ἡ λέγουσα παροιμία ὅτι „φήμη ἀγαθὴ πιαίνει ὀστᾶ“. τὴν γὰρ πιότητα δεξάμενος ἐν καρδίᾳ τὴν γεωργοῦσαν ταύτην ῥίζαν θεάσασθαι ἐπεθύμησεν, καὶ ἐπιθυμήσας εὗρε, καὶ εὑρὼν τῷ ἰδίῳ παραδείσῳ μεταφυτεῦσαι ἠθέλησεν, καὶ θελήσας τοῦ ἔρωτος οὐκ ἠστόχησεν, καὶ πάλιν τῇ ῥίζῃ εἰς τὴν ἰδίαν μετακλινούσῃ γῆν 320 ἀκώλυτον ἐδίδου τὸ μέγα φύτευμα. Τὸ γὰρ ἀειθαλὲς αὐτῆς πείρᾳ μαθὼν καὶ ἀείζωον, οὐδεμίαν λύμην ταύτην ὑποστῆναι καλῶς ὑπελάμ-

287 ὑπεκτρέχων ‖ 288 συνεπικολούθει ‖ 288. 289 οὐρανοπολίτης ‖ 293. 294 ἐπικολούθει ‖ 295 παμφαείς ‖ 298 οἰκίας ‖ 300 κατήπηγεν ‖ 302 ἀπολάβοντες. Faut-il écrire ἀπολαύοντες? ‖ 303 τῆς ‖ 304. 305 ἐπικολούθει ‖ 316 πειότητα ‖ 317 ἐπεθύθησεν εὗρε ‖ 319 μετακλινοῦσι ‖ 320 πεῖρα.

315—316 Prov. 16, 2 (15, 30).

βανεν ἐκ τῆς ὧδε κἀκεῖσε μετοχετεύσεως. Ὅρα γὰρ τὸ ἐσόμενον. Ἀνελθὼν πρὸς τὸν ὅσιον ὁ εἰρημένος ἐπίσκοπος Εὐστάθιος καὶ καταμαθὼν πᾶσαν τὴν τοῦ βίου τούτου ἀκρίβειαν, πολλαῖς ἱκεσίαις καὶ παρακλήσεσι λιπαρήσας τὸν ἐν παντὶ ἀναντίλογον, πείθει καὶ μὴ βουλόμενον τὸ ἐπισκοπεῖον σὺν αὐτῷ καταλαβεῖν. Καὶ τούτου γεγονότος, πρεσβύτερον τὸν μακαριώτατον χειροτονεῖ Δημητριανόν, καὶ διὰ τῆς ὑφεδρίας ταύτης τὴν προεδρίαν πόρρωθεν ὑπεμφαίνει τῆς πόλεως, οἰκονόμον τε πάντων τῶν ὑπὸ τὴν αὐτοῦ ἐκκλησίαν διοικουμένων κατέστησε πραγμάτων. | Ὅθεν οὐκ ἄμισθον αὐτῷ τὸ τῆς οἰκονομίας ἔργον, εἰ καὶ δεύτερον τοῦ προτέρου γέγονε βίου, εἰς τὴν τῶν λειπομένων ἀρετῶν ἐπανάληψιν. Καὶ γὰρ τὸν πρῶτον κανόνα τῆς ἀσκήσεως τηρῶν ἀπαράτρωτον, τῶν συντρόφων εἴχετο πόνων ἔν τε νηστείᾳ καὶ ἀγρυπνίᾳ καὶ ταῖς ἄλλαις τῶν ἀγαθῶν ἐργασίαις. Τὸ γὰρ ἄλλοις δυσεπιχείρητον ἢ καὶ ἀδύνατον — ἀληθὴς γὰρ ἡ λέγουσα τοῦ Κυρίου φωνή, οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν — τούτῳ παραδόξως ἀνεμπόδιστον γέγονεν, ὡς εἶναι μᾶλλον μετὰ πάντων καὶ τοῦτο θείας οἰκονομίας ἔργον, εἰς ἐκκοπὴν παντοίας ἀφορμῆς τῶν νωθρῶς καὶ ἠμελημένως ἅπασαν τεμνόντων βίου ὁδόν. Ἐκ πάντων γὰρ τῷ βουλομένῳ πολλαὶ τῶν ἀρετῶν αἱ βλαστήσεις ἐκφύουσι πρὸς τὴν τῆς σωτηρίας ἀνάληψιν. Ἐκ δὴ τούτων τῶν τῆς οἰκονομίας ἐπιχειρημάτων πᾶσιν ὑπῆρχεν ὁ μακαρίτης Δημητριανὸς εὐπρόσιτος, γαληνός, πρᾶος, ἡσύχιος, μέτριος, συμπαθὴς καὶ τούτοις οὐ φαινόμενος μόνον, ἀλλὰ καὶ τοῖς ἔργοις βεβαιούμενος, πᾶσαν δὲ χορηγίαν πένησι καὶ πτωχοῖς, ὀρφανοῖς τε καὶ χήραις ἐκ τῶν παρὰ Θεοῦ ἐμπεπιστευμένων αὐτῷ δωρεῶν πλουσίως οἰκονομῶν, | προῖκα χρηστὸς ἦν. Συνεπηκολούθει δὲ τούτοις ἅπασι τῷ μακαρίτῃ καὶ ἡ ἄνωθεν αὐτῷ δεδομένη παρὰ τοῦ ἁγίου πνεύματος χάρις τῶν ἰαμάτων. Τὰς γὰρ ἀλεξικάκους αὐτοῦ παλάμας ἅπασιν ἀφθόνως ἐπιτιθεὶς τοῖς χρῄζουσιν, τὴν τῶν θαυμάτων χάριν ἐβράβευεν, ἔνθεν πάλιν δαίμονες ἀπηλαύνοντο, ἐδραπέτευον νόσοι, καὶ πάθη παντοῖα ἐθεραπεύοντο. Ἡ γὰρ τοιαύτη χάρις αὐτῷ προπεπρωμένη τυγχάνουσα μέχρι βίου παντὸς ταῖς ὑπαλλαγαῖς τῶν βίων ἀχωρίστως συνῴκησεν· ἀμεταμέλητα γὰρ τὰ τοῦ Θεοῦ χαρίσματα καὶ αἱ δωρεαὶ κατὰ τὸν θεῖον ἀπόστολον.

[Marginal line numbers: 325, 331, 335, 340, 345, 350; folio marks: f. 200v, f. 201r]

328 ὑφαιδρείας ‖ 331. 332 λιπομένων ‖ 338 νοθρῶς ‖ 339 ἠμελιμένος ‖ 346 συνεπικολούθει ‖ 351 προπεποιωμένη cf. 476

327. 328 διὰ τῆς ὑφεδρίας ταύτης τὴν προεδρίαν πόρρωθεν ὑπεμφαίνει, „faisant présager de loin, par cette fonction inférieure, la charge épiscopale qui attendait Démétrianos“. Ὑφεδρία s'oppose à προεδρία; et πρόεδρος était à l'époque byzantine, synonyme d'évêque. C'est le titre que se donnent eux-mêmes les prélats sur les bulles de plomb (V. Schlumberger, *Sigill. de l'Empire byzantin,* passim). 352 2. Cor. 7, 10. Rom. 11, 29.

355 Οὕτω μὲν οὖν ὁ μέγας Δημητριανὸς, ἐπὶ χρόνους ἱκανούς, οἰκονόμος τῶν τοῦ Θεοῦ γενόμενος πραγμάτων, καὶ πολλοῖς ἐκ τούτου τοῦ ἐγχειρήματος φανεὶς ἐπιτήδειος, τῷ ἔρωτι πάλιν τῆς πρώτης βληθεὶς ἡσυχίας, καὶ πολλαῖς ἱκεσίαις τὴν τοῦ ἐπισκόπου Εὐσταθίου χαυνώσας τῆς ἐνστάσεως στερρότητα, πρὸς τὸ ἑαυτοῦ ἐξαποστέλλεται μοναστήριον, 360 ταῖς καλαῖς ἐλπίσι τῆς πρὶν ἀποβουκολούμενος ἡσυχίας, ἀλλὰ πάλιν αὐτὸν ἑτέρα φροντὶς μείζων τῆς προτέρας διαδέχεται· μήπω γὰρ | f. 201ᵛ τῶν ἐντὸς ὁδῶν τῆς ἰδίας μονῆς ἐπιβὰς ὁ ταύτης τὴν ἡγεμονίαν ἰθύνων μακαριώτατος ἀββᾶς πρὸς τὴν ἀγήρω ζωὴν μετατίθεται. Εὗρε δὲ πάντας τοὺς πνευματικοὺς ἀδελφοὺς αὐτοῦ τὴν ἑαυτῶν ἀποδυρο-365 μένους ὀρφανίαν, καὶ μεγάλης τραγῳδίας τὸ δρᾶμα τούτοις ὑπάρχον παραίτιον. Ἀλλὰ τὸν μακαρίτην ἰδόντες Δημητριανὸν καὶ τὴν ἀθυμίαν ἐκείνην πᾶσαν ἀφ᾽ ἑαυτῶν ἐκτιναξάμενοι, εἰς ἱκεσίαν τρέπονται τούτου, καὶ πολλοῖς αὐτὸν πείσαντες δάκρυσι τὴν τούτων ἀναδέχεται προστασίαν, ἔργῳ καὶ ἐν τούτῳ τὸν μακάριον μιμούμενος ἀπόστολον μὴ τὸ ἑαυτοῦ 370 ζητῶν, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα τῆς ἐν Χριστῷ Ἰησοῦ τύχωσι σωτηρίας. Ἆρ᾽ οὖν οὕτω μὲν τὴν προστασίαν ἐδέξατο, ἐβίω δὲ ἀναξίως ταύτης, ἢ συνετῶς μὲν ἐπιδεικτικῶς δέ, ἢ τετυφωμένως μὲν καὶ ὑπεροπτικῶς δέ, ἢ κατήσχυνέ τι τῶν τοῦ προτέρου βίου καλῶν, ὡς ἄν τις τὸ ἐκ ταύτης ἐμποδῶν προβαλλόμενος; Οὐ μὲν οὖν, ἀλλ᾽ ὁμοῦ τὰ πάντα ἔχων 375 ἐν ἑαυτῷ τῆς πρώτης τέ φημι ἡσυχίας καὶ τῆς οἰκονομικῆς ἐπιστήμης, ἀρίστως τὴν ἐμπιστευθεῖσαν αὐτῷ ποίμνην διΐθυνεν, ὡς εἶναι πάντα f. 202ʳ τὰ ἐπ᾽ αὐτῷ | προλαβόντα, θείας οἰκονομίας γνωρίσματα. Ἐξ ἀμφοτέρων γὰρ τὴν ἰσχὺν προσλαβόμενος εἰς μίαν ἐπιστημόνως ἐμπειρίαν καλῶς συνεκέρασε. Φρόνιμος δὲ λίαν ὑπάρχων, τῆς ἐπαινουμένης ἁπλό-380 τητος οὐκ ἐλείπετο ἀλλὰ καὶ τούτοις ἄριστος ὤφθη διαιτητής· οὔτε γὰρ τὸ φρόνιμον ἀσυγκατάθετον εἴασε, οὔτε τὸ ἁπλοῦν ἀνοικονόμητον. Πάντα δὲ ὁμοῦ εἰς ἓν τὰ τῶν ἀγαθῶν συλλέξας ἀποτελέσματα, μίαν στήλην ἐξ ἁπάντων τὸν ἐκείνου βίον ὁρᾶσθαι πεποίηκε, οὐ μόνον τοῖς ἐπηκόοις, ἀλλὰ καὶ πᾶσι τοῖς πρὸς αὐτὸν πίστει συντρέχουσιν ὠφελείας 385 ὁμοῦ καὶ ἰαματικῆς ἕνεκα χάριτος. Ἤρκει γὰρ καὶ μόνον βλεπόμενος Δημητριανός, πάσης ἐντέχνου διδασκαλίας τε καὶ παιδεύσεως χωρίς, τοὺς λείποντας τῇ ἑκάστου ψυχῇ τῶν ἀρετῶν ἐντυπῶσαι χαρακτῆρας. Τούτων οὕτως Θεοῦ χάριτι καλῶς οὐρανοδρομούντων, ὁ τῆς Σαλαμινίων μητροπόλεως ἀρχιεπίσκοπος πρὸς Κύριον ἐξεδήμησε, πάντων δὲ τῶν 390 ὑπὸ τὴν Κυπρίων τελούντων νῆσον ὁσιωτάτων ἐπισκόπων, συμψήφων καὶ ὁμογνωμόνων γεγονότων, προβάλλονται τὸν εἰρημένον ἐπίσκοπον f. 202ᵛ Εὐστάθιον τῆς Χυτρίδων πόλεως ὡς ἐν ἅπασι ἱκανώτατον | εἰς τὴν

357 ἐπιτίδιος ‖ 363 ἀγείρω ‖ 365 τὸ δράμα ‖ 366 εἰδόντες ‖ 372 τετυφωμένος ‖ 376 διήθυνεν ‖ 385 ἕνεκε(?)

369—370 1. Cor. 10, 33.

τῆς πρώτης αὐτῶν καθέδρας ἀρχήν. ὁ μὲν οὖν οὕτως τὴν τοῦ μεγάλου ἀποστόλου Βαρνάβα καθέδραν καὶ τοῦ ὕστερον διαλάμψαντος φωστῆρος τῆς οἰκουμένης Ἐπιφανίου διαδεξάμενος ἐν οὐδενὶ τῶν ἁπάντων τῆς 395 ἀρετῆς χαρακτήρων τῶν προηγησαμένων γέγονε δεύτερος, ἀλλ' ὁσίως καὶ δικαίως καὶ ἀμέμπτως τὴν ἐμπεπιστευμένην αὐτῷ ἴθυνε ποίμνην κατὰ τὸν πρέποντα κανόνα τῇ ἀρχιερατικῇ τελειότητι. Ἐπειδὴ δὲ τὴν πρώτην αὐτοῦ ποίμνην ἀποίμαντον καταλέλοιπε, διὰ σπουδῆς μεγάλης ἐτίθετο τὸν ἄξιον ταύτης εὑρεῖν ποιμένα τε καὶ διδάσκαλον. Καὶ δὴ 400 εἰς ἀνάμνησιν ἐλθὼν τοῦ μακαριωτάτου Δημητριανοῦ, βουλὴν ἀρίστην καθ' ἑαυτὸν βουλευσάμενος, τοῦτον ὡς ἐπ' ἄλλῳ τινὶ ἠθέλησεν πρὸς ἑαυτὸν μεταστείλασθαι, καὶ τῆς εἰρημένης πόλεως Χυτρίδων χειροτονῆσαι ἐπίσκοπον, ἐγίνωσκε γὰρ τὸν πρότερον αὐτοῦ βίον, καὶ τὴν ἐκ τοῦ ἁγίου πνεύματος δεδομένην αὐτῷ τῶν ἰαμάτων χάριν. Ὁ δέ γε Κύριος 405 ὁ ἀποκαλύπτων τοῖς δούλοις αὐτοῦ ἅπαντα τὰ μυστήρια, ὁ καὶ ἐν τοῖς προφήταις ἐνεργήσας τῇ τοῦ ἁγίου πνεύματος χάριτι, καὶ τῷ Δανιὴλ τὴν τῶν ἐνυπνίων δηλώσας σύγκρισιν· ὁ τῷ | Ἐλισσαίῳ φανερώσας τὴν f. 203ʳ βουλὴν τοῦ τῆς Συρίας ἄρχοντος κατὰ τῶν υἱῶν Ἰσραήλ, οὗτος τούτῳ διά τινος θείας ἐμφανείας τὰ κατ' αὐτοῦ μελετώμενα ὑποδείκνυσιν, 410 καὶ ταῦτα μαθὼν οὐκ ἐξ ἀνθρωπίνης ἀγγελίας, ἀλλ' ἐκ θείας δυνάμεως τὰ ἐν χερσὶ καταλιπὼν ἅπαντα καὶ μόνοις τοῖς ποσὶ συνεργοῖς πρὸς τὴν φυγαδείαν χρησάμενος, λάθρα τῆς μονῆς ἀνεχώρησε, καὶ καταλαβὼν τὰ βορειότερα μέρη τοῦ ὄρους, τόπον ἀποκρυβῆς ἑαυτῷ περιεσκόπει, τὸ τῆς ἀρχιερωσύνης φεύγων ἐγχείρημα. Τοῦτο δὲ διὰ πολλῆς ποιούμενος 415 φροντίδος ὁ μακαρίτης καὶ τοῦ προκειμένου μὴ ἐπιτυγχάνων σκοποῦ, παραγίνεται πρός τινα γνήσιον αὐτοῦ φίλον, Παῦλον ὀνόματι, καὶ τὸν σκοπὸν τῆς αὐτοῦ φυγῆς φανερώσας τούτῳ, παρακαλεῖ τόπον αὐτῷ ὑποδεῖξαι τὸν ἄγνωστον πᾶσιν, ὅπως ἐν αὐτῷ τὴν οἴκησιν ποιησάμενος τοῖς τῶν ζητουμένων ὀφθαλμοῖς ἀθεώρητος διαμείνῃ. Ὁ δὲ καὶ ὑπο- 420 δείξειν ὑπέσχετο, καὶ τῆς προθυμίας οὐδὲν ἀποδέοντα· „εἰ γὰρ βούλοιτο μέχρι βίου παντὸς οὐδενὶ τῶν ἁπάντων κατάδηλος γενήσεται". Ὁ δὲ ἅγιος ἐπὶ τοῖς Παύλου λόγοις μεγάλως ἡσθεὶς | σὺν αὐτῷ τὸν f. 203ᵛ τόπον κατέλαβε. Σπήλαιον δὲ σμικρότατον ὑπῆρχεν παρὰ ταῖς ὄχθαις τῆς θαλάσσης, ἀπῃωρημένον, φοβερώτατον καὶ λίαν δύσβατον, εἰς ὃ 425 μετὰ πολλῆς ἀνῆλθε τῆς προθυμίας ὁ μακαρίτης, τὸ τῶν ἀνθρώπων κενὸν διαφεύγων δοξάριον, ὁρκώσας δὲ τὸν Παῦλον, μηδενὶ τῶν ἁπάντων ποιῆσαι τοῦτον κατάδηλον, οὕτως ἀνέκαμψεν. Ὁ δὲ Παῦλος εἰς τὸν ἑαυτοῦ οἶκον ἀπελθών, λεληθότως τῷ ἁγίῳ πᾶσαν ὑπηρεσίαν ἐποίει. Ὁ δὲ ἀρχιεπίσκοπος Εὐστάθιος ἀποστείλας ἐν τῷ μοναστηρίῳ, 430 ἐζήτει τὸν μακάριον καὶ μὴ εὑρών, ἀπέστειλε πανταχοῦ μετὰ πάσης

---

419 ὑπόδειξιν

ἐπιμελείας τοῦτον ἀνερευνώμενος. Ἐπεὶ οὖν ἀδύνατον ἦν τὸν τοιοῦτον λύχνον ἐν τῷ ἀφεγγεῖ ἐκείνῳ μοδίῳ καλύπτεσθαι, φανεροῖ αὐτὸν ὁ Κύριος τρόπῳ τοιῷδε. Ἀνὴρ γάρ τις τῶν ἐν τοῖς μέρεσιν ἐκείνοις ἐν
435 οἷς ὁ ἅγιος λαθεῖν ἐνόμιζε, τοῦτον μετὰ τοῦ Παύλου ἀφανῶς θεασάμενος, κατάδηλον τοῖς ἐρευνῶσι πεποίηκε· καὶ τὸν τόπον δὲ καθ' ὃν ὁ Παῦλος ᾤκει, καὶ τὴν κώμην ὑπέδειξε, καὶ αὐτὸν τὴν τοῦ ἁγίου ἀποκρυβὴν εἰδέναι διϊσχυρίσατο. Οἱ δὲ τὸν Παῦλον συλλαβόμενοι, καὶ πολλαῖς
f. 204ʳ πρότερον λιπαρήσαντες παρακλήσεσιν ὑποδεῖξαι τούτοις τὸν τοῦ θεοῦ
440 δοῦλον Δημητριανόν, ὡς ἀνανεύοντα εἶδον καὶ ἄκαμπτον πάντη πρὸς τὸ αὐτοῖς καταθύμιον, ἐπὶ μάστιγας τρέπονται, καὶ τοῦτον οὐ μετρίως ταῖς τῶν βουνεύρων πληγαῖς αἰκισάμενοι ἰσχυροτέραν τῆς ἐνστάσεως τὴν βίαν πεποιήκασιν. Ἄκων γὰρ ταῖς ἐκ τῶν μαστίγων ἀνάγκαις στρεβλούμενος, τῶν ὅρκων παραβάτης γενέσθαι καταναγκάζεται, καὶ σὺν
445 τάχει πολλῷ τὸν τόπον καταλαβὼν τοῖς ζητοῦσι κατάδηλον πεποίηκε. Ὡς δὲ τόπον ἐθεάσαντο ἀνῆλθον ἐν τῷ σπηλαίῳ πρὸς τὸν ἅγιον καὶ ὑποδεικνύουσιν αὐτῷ τὸ τοῦ ἀρχιεπισκόπου Εὐσταθίου ἔνταλμα καὶ τὴν τούτου ἀνυπέρθετον ἀπῄτουν ἐκπλήρωσιν. Ὁ δὲ μετὰ πολλῶν καὶ ἀφάτων δακρύων τοῦ σπηλαίου ὑπέξεισι, μηκέτι δυνάμενος ἀνανεύειν,
450 διὰ τὸ μὴ δύνασθαι ἀσφαλεστέραν ταύτης εὑρεῖν τῆς ἀποκρυβῆς οἴκησιν, ἴσως δὲ καὶ θείας ἐμφανείας ἐν τούτῳ σχολάζων κατηξίωται εἰς τοῦτο ἀγούσης αὐτὸν καὶ μὴ βουλόμενον, παραγενόμενος οὖν σὺν αὐτοῖς πρὸς τὸν ἀρχιεπίσκοπον Εὐστάθιον πρῶτον μὲν τὸν ἐν Κυρίῳ ἀσπασμὸν τούτῳ ἀπέδωκεν, καὶ παρ' αὐτοῦ ὁμοίως ἀντεδέξατο. Ἔπειτα περὶ τῆς προ-
f. 204ᵛ κειμένης ἤρετο συζητήσεως. | Ὁ δὲ καὶ τὸν σκοπὸν εἶπεν, καὶ τὸ
456 πρὶν ἀλάθητον δι' οἰκείας ἐφανέρου γλώσσης. Ὁ δὲ μακαριώτατος Δημητριανὸς· „Ἀντέλεγον ἄν σοι, τιμιώτατε δέσποτα, καὶ σκληρότερος τῆς πρῴην ἐδεικνύμην ἐνστάσεως, εἰ μὴ θείας ἔγνων εἶναι προνοίας τὸ τελούμενον". Ὁ δὲ ἀρχιεπίσκοπος „Ἐν τοῖς ἀμφιβόλοις τὴν τῆς ἀντι-
460 λογίας ἰσχὺν ἀρίστην εἶναι διδασκόμεθα, πάτερ Δημητριανέ, ἐν δὲ τοῖς τῶν καλῶν ὁμολογουμένοις ἀναμφίλεκτον ἔχειν τὸν λογισμόν· ἢ οὐκ οἶδας ὅσα δι' ἀντιλογίαν ὑπέστη κακὰ ὁ παλαιὸς ἐν τῇ ἐρήμῳ λαός"; Ὁ δὲ μακαρίτης· „Καὶ νῦν ἔχεις με νενικημένον ὡς πρότερον. Ἀντιλέγειν γὰρ Θεῷ ἐπικίνδυνον". Ἐν τούτοις τῆς συνήθους ὑπηρεσίας
465 γενομένης τῆς ἐκκλησιαστικῆς καταστάσεως, ἀναδείκνυσι τοῦτον τῆς προειρημένης Χυτρίδων πόλεως ἐπίσκοπον, διὰ τῆς ἰδίας χειρὸς τὴν τοῦ παναγίου ⟨πνεύματος⟩ δηλώσας ἐπὶ τῇ τοῦ μακαρίου Δημητριανοῦ κεφαλῇ ἐπιφοίτησιν, καὶ τὴν ἀναίμακτον θυσίαν τοῦτον ποιήσας προσαγαγεῖν, τὴν θείαν μυσταγωγίαν τετέλεκε. Οὕτως τε ἐν τῷ ἐπισκοπείῳ
470 φιλοφρόνως αὐτὸν δεξιωσάμενος καὶ πάνδημον ἑορτὴν ἐκτελέσας, μετὰ

439 ὑποδείξαι ‖ 450 οἴκεισιν ‖ 461 ὡμολογουμένοις

πολλῆς περιφανείας καὶ | φιλοφροσύνης, πρὸς τὴν αὐτῷ ἐγκεχειρισμένην f. 205[r]
ἐξαπέστειλε πόλιν· ἐν ᾗ πρὸ πολλῶν ἄλλων, Πάππος τε καὶ Ἀθανάσιος
οἱ τῷ τῆς φύσεως συνδέσμῳ ὡς τῷ τοῦ πνεύματος συνδεόμενοι, καὶ
μεγάλων αὐτουργοὶ θαυμάτων γενόμενοι, κατὰ διαδοχὴν τὴν καθέδραν
ἐδέξαντο. Ὑπεδέχθη οὖν παρὰ πάντων μετὰ πάσης εὐφροσύνης ἀγαλ- 475
λιάσεώς τε καὶ περιφανοῦς δεξιώσεως. Προπεπυσμένοι γὰρ ὑπῆρχον
τῶν εὐεργεσιῶν τούτου καὶ ἰαματικῶν δωρεῶν, ἐκ τῆς πρῴην αὐτῶν
συνδιατριβῆς, ἡνίκα ταύτης τῆς ἐπισκοπῆς τὴν οἰκονομικὴν φροντίδα
ἀμέμπτως διήνυσεν.

Ὁ δὲ μακαρίτης Δημητριανὸς ταύτης τῆς πόλεως ἐπειλημμένος 480
τοὺς οἴακας πᾶσαν ἐπιμέλειαν ποιμαντικῆς ἐπιστήμης ἐν αὐτῇ ἐπεδείξατο.
Εἰς κάλλος γὰρ καὶ μέγεθος ταύτην αὐξήσας τῇ τοῦ ἐνδυναμοῦντος
Θεοῦ χάριτι, πᾶσαν ἀρετῆς καλοκἀγαθίαν ἐν αὐτῇ κατεφύτευσε. Ταῖς
ἐκκλησιαστικαῖς οὖν μεριζόμενος φροντίσιν τῶν τῆς ἐρήμου καλῶν
ἑαυτὸν οὐκ ἐγύμνωσεν, ἀλλὰ ἀπὸ δόξης εἰς δόξαν κληθεὶς τὸ τῆς 485
τελειότητος ὕψος κατείληφε. Ὅσα γὰρ τούτῳ ἐν τῇ ἐρήμῳ διὰ τὴν
σπάνιν παρημέληντο τῶν ἀρετῶν ἀρι|στεύματα ἐνταῦθα, τῆς ὕλης, f. 205[v]
δαψιλῶς ὑπαρχούσης, μετὰ προσθήκης κατώρθωσε, λέγω δὴ τὴν τῶν
πενήτων ἐπιμέλειαν, τὴν τῶν χηρῶν προστασίαν, τὴν τῶν ὀρφανῶν
ἀντίληψιν, τὴν τῶν ἀδικουμένων ἐκδίκησιν, τὴν τῶν ξένων δεξίωσιν, 490
τὴν τῶν ἀσθενούντων ἐπίσκεψιν, τὴν τῶν ἐν φυλακῇ συμπάθειαν, τὴν
τῶν γυμνῶν ἀμφίασιν, τὴν τῶν πεινώντων τροφήν, τὴν τῶν διψώντων
ἀνάψυξιν, τὴν τῶν μαχομένων εἰρήνην· τοῖς πᾶσιν ἁπλῶς ἦν ἰδεῖν
τοῦτον προσνοούμενον ὡς πατέρα καὶ πᾶσι πάντα γινόμενον ἵνα πάντας
κερδήσῃ, κατὰ τὸν μέγαν ἀπόστολον. Τῶν γὰρ τοῦ Θεοῦ δωρεῶν οὐκ ἔχων 495
⟦ὡς⟧ ἀνθρώποις ὑπέχειν λόγον, ⟦καὶ⟧ ⟨ὡς ὅτε⟩ οἰκονομικὴν ἐμπεπιστευ-
μένος ἦν διακονίαν, ἀλλὰ κυρίως καὶ ἐλευθερίως ἁπάντων ἔχων τὴν ἐξου-
σίαν, κυρίως καὶ ταύτας διένεμε, ἐπαρκῶν μὲν ἅπασι τοῖς διαφόροις συνε-
χομένοις θλίψεσιν, μετὰ δὲ πάντων καὶ σὺν τούτοις, τυφλοῖς τε καὶ
ἀναπήροις, ἀδυνάτοις τε καὶ πτωχοῖς, μάλιστα τοῖς ὑπὸ τῆς ἱερᾶς νόσου 500
συνεχομένοις καὶ παντοίαν λώβην ἐκ ταύτης ὑφισταμένοις, αἰχμαλώτους
ῥυόμενος, τοὺς ἐν ἀνάγκαις λυτρούμενος, ξένους δεξιούμενος, | τῶν f. 206[r]
οἰκείων ἐπιμελούμενος ὅτι μάλιστα· ταῦτα Δημητριανὸς ἐν τῷ τῆς ἐπι-

476 προπεποιωμένοι ‖ 488 κατόρθωσε ‖ 489 χειρῶν ‖ 492 πεινόντων | διψόντων ‖ 495 κερδήσει ‖ 496 ὑπέχων | λόγων ‖ 499 θλήψεσιν ‖ 500 ἀναπείροις ‖ 501 συνεχομένους | ὑφισταμένους

476 Προπεπυσμένοι. Au lieu de ce participe, le scribe a écrit προπεποιωμένοι; cette forme rare et savante doit en effet avoir souvent égaré les copistes. Appien, Civ. 2 143 (II p. 826 Mendelssohn) τυράννου μὲν κατηγορίας προπεπυσμένοι. A (= cod. Augustanus) προπεπωμένοι d'où Bekker fit προπεπομένοι. — L. 351, le même προπιποιωμένος cache une autre forme. 494—495 cf. 1. Cor. 9, 19—21.

σκοπῆς κατώρθωσεν ἀξιώματι, ἅπερ ἐν τῇ ἐρήμῳ διὰ τὴν σπάνιν οὐκ
505 *ἦν τούτων ἐπιμελήσασθαι. Καὶ οὗτος τῶν ἐκ τοῦ κόσμου μετέχων ἀγαθῶν πλεονεκτημάτων, τῶν τῆς ἐρήμου καλῶν οὐχ ὑστέρει τὸν ὑπ' αὐτοῦ ποιμαινόμενον ⟨λαὸν⟩, ἀλλ' ἦν ἅπασι πρᾶος, γαληνὸς, ἡσύχιος, φίλος, ἱκέσιος, εὐπρόσιτος, συμπαθής, μέτριος, θείας φιλανθρωπίας ἀνάπλεος. Πρὸς τούτοις δὲ πᾶσι καὶ ἰατρείαν ἦν καλὴν παρέχων τοῖς*
510 *χρήζουσι. Τῷ γὰρ λόγῳ, ἅλατι ἠρτυσμένῳ, τὸ τῆς ψυχῆς ἄναλον ἤρτυεν, τῷ δὲ χαρίσματι τῶν ἰαμάτων πᾶσαν ἀπήλαυνεν νόσον καὶ μαλακίαν κατὰ τὸ λόγιον, οὐ τέχνῃ χρώμενος ἰατρικῇ τῶν ἐξ Ἱπποκράτους καὶ Γαληνοῦ βοηθημάτων, Χριστοῦ δὲ μόνον τῇ θελήσει καὶ τῇ τοῦ σταυροῦ σφραγῖδι ἡ δοθεῖσα τούτῳ χάρις τῶν ἰαμάτων ἐπηκολούθει, ἔνθεν δαι-*
515 *μόνων πάλιν ἐφυγαδεύετο πλήθη τῷ λόγῳ Δημητριανοῦ, καὶ οὐ λόγῳ μόνῳ ἀλλὰ καὶ τῇ κλήσει. Ἐκ μακρῶν γὰρ διαστημάτων οὐκ ἔλαττον τοῦ λόγου ἡ χάρις ἐνήργει· τὸ δὲ τούτων ἔτι παραδοξότερον, ὅτι καὶ*
f. 206v *μετὰ τὴν τοῦ σώματος διάζευξιν, ἡ ἰαματοφόρος χάρις τῶν | αὐτοῦ λειψάνων οὐκ ἀπεζεύχθη, ἀλλ' ἣν ἐκ τῆς ἄνωθεν εἴληφεν χειρὸς ταύ-*
520 *την καὶ μετὰ ⟨τὸ⟩ τέλος ἔσχεν ἀναλλοίωτον· εἰς βεβαίωσιν μὲν τῶν αὐτοῦ μέχρι τέλους ἀγωνιστικῶν παλαισμάτων, δόξαν τε καὶ αἶνον τοῦ δοξάζοντος αὐτὸν διὰ βίου παντός [δοξάζοντάς τε καὶ μεγαλύνοντας]. Μικρὸν δὲ ἔτι τῇ ἐν σαρκὶ αὐτοῦ βιοτῇ προσδιατρίψαντες, καὶ ἓν ἢ δύο τῶν ὑπ' αὐτοῦ γενομένων διηγησάμενοι, οὕτω τῇ τοῦ βίου τούτου*
525 *καταλύσει τὸν λόγον συγκαταλύσομεν, πάσης διηγήσεως θαυμαστικῆς πιστοτέραν τὴν ὄψιν τῶν βουλομένων κρίναντες. Οἱ γὰρ τοῖς ἡμετέροις μὴ πειθόμενοι λόγοις, ἐπὶ τῇ ἰαματοφόρῳ λάρνακι τοῦ ἁγίου παραστάντες, αὐταῖς ὄψεσι διδαχθήτωσαν τὴν ἐκβλύζουσαν τοῦ μύρου πηγήν, ἐξ ἧς δραπετεύει τῶν νοσημάτων ἡ ὄχλησις.*

530 *Ἔτι δὲ αὐτοῦ ἐν σαρκὶ διατρίβοντος, τῷ γήρᾳ πιεζομένου, καὶ τὴν ἐκεῖθεν ἀνάλυσιν ἐκδεχομένου δι' ἧς ὁ τῆς δικαιοσύνης ἀπάρχεται στέφανος, γέγονεν ἐπανάστασις Βαβυλωνίων βαρβάρων κατὰ τὴν τῶν Κυπρίων νῆσον, οὐ φόρων παραβάσεως ἐγκαλ⟨εῖν αὐτ⟩οὺς ἐχόντων, |*
f. 207r *οὐκ ἐπαναστάσεως αἰτίαν, ἀλλὰ τὸν λῃστρικὸν τρόπον συνεργὸν ἐχόν-*
535 *των, καὶ τὴν ἔμφυτον ἀγριότητα. Οἱ ταύτης ἐπιβάντες τῆς νήσου καὶ πολλὰς ληϊσάμενοι χώρας, πλῆθός τε ἀπείρων αἰχμαλώτων συναγαγόντες καὶ πολλὴν προνομὴν ποιησάμενοι σκύλων, ἧκον καὶ ἐπὶ ⟨τὴν⟩ τοῦ μακαριωτάτου Δημητριανοῦ πόλιν, καὶ ταύτην λαφυραγωγήσαντες καὶ ἐξανδραποδισάμενοι, πρὸς ἥνπερ ὥρμηντο, μετὰ τάχους ἀπέστρεψαν,*

---

504 *κατόρθωσεν* | *σπάνην* ‖ 506 *τὴν* ‖ 508 *συμπαθεὶς* ‖ 509 *βουλὴν* (sic) ‖ 510 *τῷ γὰρ λόγῳ ἅλατι ἠρτυσμένος τὸ* ‖ 512. 513 *ἱππουκράτους καὶ γαλινοῦ* ‖ 520 *μετὰ τέλους* ‖ 522 *δοξάζοντας τε καὶ μεγαλύνοντας* incompréhensible ‖ 523 *προσδιατρίψαι* ‖ 525 *συγκαταλύσωμεν* ‖ 533 *νίσων* | *ἐγκαλούς* certainement corrompu ‖ 536 *συναγαγώντες* ‖ 539 *ἐξανδραποδησάμενοι. προσείπερ*

πολλῶν θρήνων καὶ ὀδυρμῶν παραίτιοι τοῖς ὑπολειφθεῖσιν ἐν τῇ Κύπρῳ 540
νήσῳ γενόμενοι. Πῶς γὰρ ἦν ἀδακρὺ τὴν τοιαύτην παρελθεῖν τραγῳδίαν, ὁρῶντας ὑπὸ ἀνηλεῶν βαρβάρων ἄνδρας μὲν ὡς ἐν μακέλλῳ τοῖς ξίφεσι κατατμηθέντας, γυναῖκας ἁρπαγείσας, νήπια φειδοῦς μὴ τυχόντα, παρθένων αἰδῶ καθυβρισθεῖσαν, νεανίσκους δοριαλώτους γεγενημένους, πάντων τῶν ὑπαρχόντων ἅπαντας γυμνωθέντας, καὶ μηδὲν τῶν αἰχ- 545
μαλωτισθέντων φιλανθρωπότερον ἔχοντας. Γενομένης δὲ ταύτης τῆς ἐλεεινῆς τραγῳδίας, πάντες μὲν τοῖς ἑαυτῶν πλησίον κακὰ διετίθεσαν· | *ὁ δὲ μέγας Δημητριανὸς τοῦ ἰδίου ἀπορφανισθεὶς ποιμνίου, ἐποτνιᾶτο* f. 207[v]
καὶ ἔστενε καὶ δάκρυσι πολλοῖς τὸν τοῦ Θεοῦ ἐπεκαλεῖτο ἔλεον, εἰς ἀνάρρυσιν τῆς ὑπὸ λύκων ἀγρίων διεσπαρμένης καὶ διεφθαρμένης, 550
⟨ποίμνης⟩· καὶ δὴ μὴ φέρων ἐπὶ πολὺ τὴν ἐξ ἀθυμίας αὐτῷ γινομένην ἐγκάρδιον θλῖψιν, ὀπισθόπους καὶ αὐτὸς εἵπετο τῶν αἰχμαλώτων· δύο τὰ μάλιστα συμβουλευσάμενος, ἢ συγκακουχεῖσθαι τούτοις καὶ τὸ πολὺ ἐπικουφίζειν τῆς θλίψεως, ἢ πάντως τῶν κινδύνων τούτους λυτρώσασθαι καὶ πρὸς τὴν θρεψαμένην ἐπαναγαγεῖν. Καὶ δὴ καταλαβὼν τὴν 555
Βαβυλῶνα, καὶ τῷ ταύτης ἐμφανισθεὶς πρωτεύοντι, τήν τε παράβασιν τῶν συνθηκῶν εἶπεν, καὶ τὴν τῶν βαρβάρων ἀγριότητα ὅτι μάλιστα τούτῳ ἐνεφάνισεν. Τοῦτο δὲ οὐ παρέργως ἀλλὰ μετὰ πολλῶν καὶ πικροτάτων δακρύων ἀπήγγειλεν· ἦν γὰρ εἰς φύσιν λοιπὸν μετελθὸν τὸ ἐκ πολλῶν πόνων προστεθὲν σωτήριον φάρμακον. Ὁ δὲ τῶν βαρβάρων 560
ἔξαρχος τοῖς δάκρυσι τούτου καταπλαγεὶς καὶ μεταβαλὼν τὴν φυσικὴν ἀγριότητα· „Παῦσαι ἄνθρωπε, ἔφη, καὶ τὸ πολὺ τοῦ πένθους περίκοψον· ἀπολήψει γὰρ πάντως τῆς ἐπιθυμουμένης σου | *δεήσεως τὴν περαίωσιν“.* f. 208[r]
Τὴν αἰτίαν οὖν μαθὼν ὁ εἰρημένος βάρβαρος καὶ τὴν τῶν διωκτῶν ἀπάνθρωπον ὠμότητα, μετὰ τρίτην ἡμέραν προσκαλεσάμενος τὸν μακα- 565
ριώτατον Δημητριανὸν παραδίδωσιν αὐτῷ τά τε σκῦλα καὶ τοὺς αἰχμαλωτισθέντας ἅπαντας, καὶ οὕτως μετ' εὐφροσύνης πολλῆς πρὸς τὴν ἰδίαν γῆν ἐξαπέστειλεν. Ὁ δὲ μακαρίτης σὺν παντὶ τῷ αἰχμαλώτῳ λαῷ τὴν οἰκείαν καταλαβὼν πατρίδα καὶ δόξαν ἀναπέμψας σὺν αὐτοῖς τῷ σεσωκότι Θεῷ, χαίροντες καὶ ἀγαλλιώμενοι εἰς τὰ ἴδια ὑπέστρεψαν. 570

Τούτων τῶν μακρῶν αὐτοῦ νηστειῶν καὶ κακοπαθειῶν πολὺ τιμιώτερον τοῦτο τῶν ἄλλων ἁπάντων κατορθωμάτων ἐξαίρετον· ἕτερον δὲ τῶν αὐτοῦ διηγήσομαι θαυμάτων. Σπόρου ποτὲ καταλαβόντος

---

540 *ὑπολειφθήσιν* ‖ 541 *νήσσω* ‖ 543 *φήδους* ‖ 544 *ἐδῶ* ‖ 547 *τῆς ἑαυτῶν πλησίων* ‖ 548. 549 *ἐποτνίατω καὶ ἔστεναι* | *ἔλαιον* ‖ 551 *γινομένης* ‖ 554 *θλήψεως* ‖ 555 *ἐπαναγάγει* ‖ 559. 560 *μετελθόντων ἐκ* | *προστιθὲν* ‖ 561 *μεταλαβὼν* ‖ 565 *ἀπανθρώπων* ‖ 566 *σκύλα* ‖ 570 *ὑπέστρεψαν*, conjecture pour *ἐξαπέστειλε*, répété de 568

547 L'auteur de la vie (inédite) de S. Grégentius, parlant d'un massacre semblable: *ταῦτα τὰ μέγιστα καὶ τραγῳδίας ἀνάπλεα* | *κακὰ διετίθεσαν.* Cf. Theodoret 2, 888 ed. Bonn *ἐπαναστάντες μυρία διέθεσαν αὐτοῖς κακά.*

ἦλθέν τις τῶν τοῦ ἐπισκοπείου γεωργῶν αἰτῶν παρὰ τοῦ ἁγίου βοῦν
575 εἰς ἐργασίαν. Ὁ δὲ ἀπέστειλε Μακεδόνιον τὸν αὐτοῦ νομέα ὀνήσασθαι τὸν ἐπιτηδειότατον βοῦν. Παραγενόμενος οὖν ὁ ἐπὶ τούτῳ ἀποσταλεὶς καὶ πολλὰ ἐρευνήσας, οὐκ ἠδυνήθη εὑρεῖν εἰ μὴ ἕνα βοῦν ἀκαμβῆ καὶ
f. 208ᵛ ἀγέρωχον, πολλὴν ὅμως ἐπιτηδειότητα ⟨ἐπιδεικνύμενον⟩ | πρὸς τὴν ζητουμένην ἐργασίαν. Δοὺς δὲ τὸ τίμημα τῷ κυρίῳ τοῦ βοὸς ἦλθεν
580 μετ' αὐτοῦ συλλαβέσθαι τοῦτον. Καὶ μὴ δυνηθέντες μόνοι διὰ τὸ φύσει αὐτοῦ ἄγριον, προσέλαβον μεθ' ἑαυτῶν καὶ ἑτέρους πλείονας, οὓς μὲν πεζοὺς οὓς δὲ μεθ' ἵππων καὶ ἡμιόνων. Πολλὰ οὖν καμόντες καὶ μὴ δυνηθέντες τοῦτον κατασχεῖν, διὰ τὸ ἀπεχθέσθαι πᾶσιν καὶ τοῖς τῶν κεράτων ὅπλοις ἀμύνεσθαι, ἔασαν τοῦτον ἅπαντες. Ὁ δὲ
585 Μακεδόνιος παραγενόμενος πρὸς τὸν ἅγιον ἀπήγγειλεν αὐτῷ τὴν τοῦ βοὸς ἐπιτηδειότητά τε καὶ ἀγριότητα. Καὶ δὴ σὺν τῷ Μακεδονίῳ μόνος παραγενόμενος, τὸν βοῦν μακρόθεν παρεκελεύσατο τοῦτον καθυποδεῖξαι. Ὁ δὲ ὑπέδειξέν τε καὶ τοῦ μὴ γενέσθαι πλησίον παρεγγυήσατο. Ὁ δὲ ἅγιος — ἀτάραχος οὕτως ἦν καὶ πρᾷος — προσῆλθεν τῷ βοΐ,
590 καὶ τῶν αὐτοῦ κεράτων δραξάμενος, ὡς πρόβατον εἷλκε, μηδὲν ἐπιδεικνύμενον λείψανον τῆς πρώτης αὐτοῦ ἀγριότητος. Εἶπεν δὲ πρὸς τὸν Μακεδόνιον· ὄντως, οὐδέποτε τοιοῦτον βοῦν ἐθεασάμην πρᾳότερον. Ἔκστασις δὲ μεγάλη συνέσχεν τὸν Μακεδόνιον ἐπὶ τῷ παραδόξῳ τοῦ
f. 209ʳ θαύματος. | Ὁ δὲ ἅγιος, τὸν κάλων περιθεὶς τοῖς τοῦ βοὸς κέρασι,
595 δέδωκεν τῷ Μακεδονίῳ ἔμπροσθεν τούτου ἕλκειν. Ὡς δὲ τὴν ὁδοιπορίαν ὁμοῦ διήνυον, ἔρχονται κατά τινα τόπον τοῦ ἀναπαύσασθαι. Καὶ ἰδοὺ

---

574 ἐπισκοπίου || 575 Μακεδώνιον τὸν αὐτοῦς ὀνομαίας (sic.) || 576 ἐπιτιδιώτατον | τούτου || 578 ἀγέροχον | ἐπιτηδιότητα. L'addition ἐπιδεικνύμενον s'impose || 583 ἀπέρχεσθαι || 584 τοὺς ἔασαν || 586 ἐπιτηδιώτητά τε καὶ ἀγριώτητα | Μακεδωνίω || 590. 591 ἐπιδεικνύμενος || 592 Μακεδώνιον || 593 ἔκστασεις | Μακεδώνιον || 594 κάλον || 595 ὀδυπωρίαν

---

576 suiv. Voyez une histoire miraculeuse de ὑποζύγιον ἄτακτον, *Vita Epiphanii* (Migne PG 41 25—28). Ἀκαμβής. Pour ἀκαμπής. Ce mot ne se trouve qu'ici. La sourde du radical est remplacé par la sonore correspondante selon une tendance générale dans le grec postérieur, et qui est due à l'analogie. La langue ancienne présente des phénomènes semblables, qu'on explique de même par l'analogie (cf. G. Meyer *Gr. Gr.* 271—272). L'inscription d'Andanie (Cauer² 47. 77) a κεκλεβώς de κλέπτω. Cf. κρύβη (Diodore, N. T.) ἐκρύβην, καλύβη; βλάβη. Ces formes ont été refaites sur les aoristes d'après l'analogie de τρίβω: ἔτριψα: τρίβω = ἔβλαψα: βλάβω. Le radical analogique se rencontre d'abord que dans les aoristes seconds passifs, les parfaits et les noms dérivés (ἐκρύβην, κρύβη, καλύβη sont antérieurs à κρύβω καλύβω). Ce n'est guère qu'à l'époque moderne que le procédé règne en maître dans la formation du présent (Hatzidakis, *Einleitung* 403—404). Ἀκαμπής au sens précis d'indocile (ἄτακτος dans l'histoire citée de la *Vita Epiphanii*) ne se rencontre pas ailleurs (cf. *Thesaurus* s. v.).

μία γραῦς προσελθοῦσα τῷ ἁγίῳ ᾔτει παρ' αὐτοῦ ἐλεημοσύνην. Ὁ δὲ ἅγιός φησι πρὸς αὐτήν· „Πίστευσόν μοι γύναι· οὔτε ἄργυρον οὔτε χρυσίον ὑπάρχει μοι· ἀλλ' εἰ βούλει, μίσθωσαι σεαυτῇ ζῷον, καὶ ἐλθὲ ἐν τῷ ἐπισκοπείῳ, καὶ παρέχω σοι χρείαν πᾶσαν τὴν ἐπιζητουμένην παρὰ 600 *σοῦ, καὶ τοῦτο οὐχ ἅπαξ, ἀλλ' ὁσάκις βούλει, καὶ ὑπὸ τῆς πενίας καταναγκάζει". Ἡ δὲ ἔφη· „οὐκ ἐστίν μοι εὐπορία, φιλανθρωπότατε δέσποτα, πρὸς ἐφεύρεσιν ζῴου, ἀλλὰ ὡς ἂν βούλῃ, τὴν ἐμὴν μὴ ἀπαξιώσῃς πτωχίαν παραμυθήσασθαι" Ὁ δὲ πάσης συμπαθείας ἀνάπλεος τοῦ Θεοῦ ἄνθρωπος Δημητριανὸς, ἀναστὰς καὶ ἰδίαις χερσὶ λύσας τὸν* 605 *βοῦν, δέδωκεν τῇ ἀπόρῳ εἰπών· „Δέξαι τοῦτον, καὶ δὸς ἀροτριᾶν, καὶ τὸν ἐκ τούτου κάματον ἕξεις ἐπαρκοῦν εἰς διατροφήν σου καὶ τοῖς τέκνοις σου". Οὕτως οὖν μετὰ πάσης εὐφροσύνης ἡ γραῦς δεξαμένη παρὰ τοῦ ἁγίου τὸν βοῦν, ἀπῆλθεν εἰς τὰ ἴδια εὐχαριστοῦσα τῷ Θεῷ καὶ τῷ | ἁγίῳ αὐτοῦ θεράποντι. Πολλὰ μὲν οὖν καὶ ἕτερα τοῦ* f. 209v *ἁγίου τούτου γεγόνασιν θαύματα, καὶ ἀξιομνημόνευτα πράγματα, ἅτινα* 611 *διὰ τὸ πλῆθος παριδεῖν ἐγνώκαμεν. Ἀρκεῖ γὰρ τοῖς πιστεύσασιν καὶ θαυμάτων χωρίς, ἐκ τοῦ πρακτικοῦ αὐτοῦ βίου τὴν ὠφέλειαν δρέπεσθαι. Εἰ δὲ καὶ ταῦτα εἰς προσθήκην μείζονα ὁ μεγαλόδωρος Κύριος τούτῳ παρέσχεν τῷ ἁγίῳ καὶ ζῶντι καὶ μετὰ θάνατον, τίς ἔτι ἀμφιβολίας* 615 *ἀφορμὴ λείπεται τοῖς φιλοσκώπταις εἰς τὸ μὴ ἀνυπερθέτως ἐπιγράφειν τούτων τὴν ἁγιότητα; Τοῖς γὰρ πάντα ῥαδίως διαβάλλειν θέλουσιν, οὔτε ὁ τοῦ ἁγίου Ἰωάννου βίος ἀρέσει, οὔτε ὁ τοῦ τῶν ὅλων δεσπότου, ὅτι ὁ μὲν δαιμονῶν ἤκουσεν διὰ τὸ ἄγαν ἀτρύφητον, ὁ δὲ φάγος καὶ οἰνοπότης διὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐπιμικτὸν καὶ συνέστιον.* 620 *Ἀλλ' ἡμεῖς δεξάμενοι καὶ θαυμάσαντες τὴν τοῦ ἁγίου τούτου μεγάλην βίου ἀκρίβειαν, κατὰ δύναμιν ⟨ταύ⟩την εἰς ὠφέλειαν τῶν ἐντυγχανόντων γραφῇ παρεδώκαμεν, ἡμᾶς γε αὐτοὺς τῇ μνήμῃ ταύτῃ καθαγιάζοντες καὶ τῶν ἡμᾶς προτρεψαμένων εἰς τοῦτο τὸν πόθον ἀφοσιούμενοι. Ζήσας δὲ σχεδὸν περὶ τὰ ὀγδοήκοντα ἔτη ὁ μακάριος Δημητριανὸς καὶ τὸν* 625 *δαυιτικὸν ὅρον πληρώσας ἐν γήρει καλῷ καταλύει τὸν βίον πρεσβύτης ⟨καὶ⟩ | πλήρης ἡμερῶν. Τὸ δὲ τέλος αὐτοῦ γέγονεν κατὰ τὴν ἕκτην* f. 210r *τοῦ νοεμβρίου μηνός, ἐκκαίδεκα μὲν χρόνων ἀποταξάμενος, τεσσαράκοντα δὲ χρόνους ἐν τῇ ἀσκητικῇ τελέσας παλαίστρᾳ, εἴκοσι δὲ καὶ πέντε τὸν τῆς ἐπισκοπῆς Χυτρίδων ἰθύνας θρόνον· τὸ δὲ τίμιον αὐτοῦ* 630

---

597 *ἤτι* ‖ 599 *ἡ βούλῃ* | *μίσθωσε* | *σεαυτήν* ‖ 600 *ἐπισκοπίω* ‖ 603 *ὡς ἂν βούλει* ‖ 604 *παραμυθίσασθαι* ‖ 607 *καμάτων* ‖ 614 *μείζωνα* | *τοῦτο* ‖ 615 *ζώντι* ‖ 620 *συνεσθίον* ‖ 622 *ἀκρίβιαν* ‖ 628 *ἐκκέδεκα* ‖ 629 *ἤκοσι*

618—620: Matth. 11, 18. 19 *ἦλθεν γὰρ Ἰωάννης μήτε ἐσθίων μήτε πίνων καὶ λέγουσιν· Δαιμόνιον ἔχει· ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων καὶ λέγουσιν ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης τελωνῶν φίλος καὶ ἁμαρτωλῶν* cf. Luc. 7, 33—34.

λείψανον κατετέθη ἐν τῇ ἐμπιστευθείσῃ αὐτῷ ὑπὸ τοῦ ἁγίου πνεύματος ἐκκλησίᾳ. Καὶ νῦν ὁρᾶται καθ' ἑκάστην μύρων ἀναβλύζων πηγάς, ἐξ ὧν ἅπας (sic) *νόσος τοῖς πίστει τούτων μετέχουσιν ἀπελαύνεται, δαίμονες δραπετεύουσιν καὶ πάντων τῶν παθῶν ἀλεξητήριον φάρμακον*
635 *πίνονται. Ἡ δὲ ἁγία αὐτοῦ ψυχὴ ἐν ἀγαλλιάσει τοῦ σκήνους ὑποχωρήσασα ταῖς οὐρανίαις δυνάμεσιν ἐμφιλοχωρεῖ τῷ προσώπῳ Κυρίου ἐμφανιζομένη καὶ τῶν αἰτουμένων τὰς δωρεὰς ἀκωλύτως λαμβάνουσα. Ἔνθεν παρρησίαν ἔχων πρὸς ὃν ἐκ ψυχῆς ἐπεπόθησας, ὦ ἱερώτατε πάτερ, μέμνησο ἡμῶν τῶν ἀναξίων ὑμνῳδῶν σου, καὶ τὰς καθ' ἡμῶν*
640 *ἐπαν[ασ]τάσεις τῶν ὁρατῶς [καὶ] ἀοράτως ἡμᾶς πολεμούντων κατ[άλυσον], καὶ τὸν κόσμον [μὲν ὅλον?] αἰωνίως ταῖς σαῖς [πρεσ]βείαις πρυτάνευσον [πάτερ], ἐξαιρέτως δὲ, τὴν σοὶ ἀνατεθεῖσαν ποίμνην φυλάττων μὴ διαλείποις ἐκ παντοίας βλάβης τῶν συνεπιτιθεμένων κακῶν.*
f. 210ᵛ *Ὁρᾷς γὰρ | τὴν ἀγριότητα τῶν ἐπανισταμένων αὐτῇ πολεμίων, καὶ*
645 *τὴν ἐπικειμένην ἐκ πάντων συντριβὴν τῆς καθ' ἡμέραν ταλαιπωρίας. Στῆσον τὰ νέφη καὶ τὴν καταιγίδα τῶν πειρασμῶν καὶ παράσχου εἰρήνην. εἰρηνοβράβευ[τε]*

. . . . π ν τε ταῖς ὑ
. . . . . . νε μέ
650 *. . . . . . . αις ὑπὸ*
. . . . ριωναιχ
. . . . νο
. . . . . . ἐπαινου
. . . . . . ε παρα
655 *. . . . φόρους ἀέ*
.
. . . . . σίαν καρ
. . . . τῆς γῆς ευ
η νίαν απαντωνα
660 *ων θυμιαν του*
μετὰ σὲ καὶ τοῦ
θρόνου διάδοχον τον . . οσ
τον ἱερώτατον πιτρου
πω ἀνάδειξον . . μιμητὴν πίστεως ὀφθαλμ [ὲ] .
τῶν σῶν κατορθωμάτων
κατανοήσας τὸ μέγεθος
665 *τοῦτον σου τὸν βίον εἰς ὦ*

---

632 *ὁρᾶτε* ‖ 635 Lire *πίνεται?* ‖ 635. 636 *ὑποχωρήσας* ‖ 637 *ἀκολύτως·* ‖ 641 Ma copie porte *καὶ τὸν κόσμον την . . .* | *αἰωνίος* ‖ 643 *συνεπιτιθειμένον*

φέλειαν τῶν ἐντυγχανόν
των, εἰς προτροπὴν δ 670
ἔγραψ . . . .
τὰς . γλ . . . . αὐτὸν
καὶ διδάσκαλον καὶ κυ
βερνήτην τησ . . .
παντὶ τῷ λαῷ 675
. . . .
ἁγία σου ποίμνη. . .
. . δεομένων ἀντιλή-
ψεως καὶ βοηθείας σου
πρὸς σωτηρίαν. . . . 680
ὡς ἂν ἄλλο . . . . .

Index verborum.

Athènes.

Henri Grégoire.

Ἀντώνιος ὁ Βυζάντιος

διδάσκαλος τῆς ἐν Κωνσταντινουπόλει μεγάλης τοῦ γένους σχολῆς.

Νικηφόρος Καλογερᾶς ἔτει ͵αωπα΄ ἐδημοσίευσεν ἐν Ἀθήναις βιβλίον ὑπὸ ἐπιγραφὴν „Ἀντωνίου τοῦ Βυζαντίου συγγραφέως τῆς ια΄ ἑκατονταετηρίδος Χρηστοήθεια ἤτοι τρόποι τοῦ ἑλληνοπρεπῶς φέρεσθαι ἐκδιδόμενοι χάριν τῆς ἑλληνικῆς νεολαίας μετὰ καὶ τῆς εἰς τὴν καθωμιλημένην παραφράσεως". ἐν ᾧ λέγει „Πατὴρ τοῦ πονηματίου τούτου ὑπῆρξεν Ἀντώνιος ὁ Βυζάντιος, οὗτινος ἡ μὲν πολυμάθεια εἶναι εἰς ἡμᾶς γνωστή, ἀλλὰ τὰ τοῦ βίου αὐτοῦ ὅλως εἰσέτι ἄγνωστα διατελοῦσι. Τοῦτο δὲ μόνον δυνάμεθα ὁριστικῶς περὶ αὐτοῦ νὰ εἴπωμεν, ὅτι ἤκμασε κατὰ τὸ ἔτος 1000—1100. Ἢ ὁριστικώτερον, ἐπὶ τοῦ αὐτοκράτορος τοῦ Βυζαντίου Ἀλεξίου τοῦ Κομνηνοῦ, βασιλεύσαντος ἀπὸ τοῦ ἔτους 1071—1117. Ἐπίσης δὲ συμπεραίνομεν ἐκ τῆς προσωνυμίας αὐτοῦ ὅτι πατρίδα εἶχεν αὐτὸ τὸ Βυζάντιον. Ὅτι πολυμαθὴς ἦτο ὁ ἀνήρ, μαρτυρεῖται ἐκ τοῦ πονήματος αὐτοῦ, Μελίσσης καλουμένου" (σ. ια΄)· καὶ „εἶναι ὄντως περίεργον ὅτι, ἐνῷ ἡ Μέλισσα, πόνημα ὄν, ὡς εἴπομεν, Ἀντωνίου τοῦ Βυζαντίου, τοσάκις ἤδη παρὰ διαφόρων κατὰ καιροὺς ἀνετυπώθη· ἡ Χρηστοήθεια, ἔργον ὁμοίως οὖσα τοῦ αὐτοῦ, καὶ προϊὸν μάλιστα καθαρὸν τῆς ἰδίας γραφίδος, μόνον ἅπαξ μέχρι τοῦδε εἶδε τὸ τῆς δημοσιότητος φῶς. Φερομένην, ὡς φαίνεται, ἀπὸ χειρὸς εἰς χεῖρα χειρόγραφον, ἢ ἐντὸς τῶν θηκῶν βιβλιοθήκης τινὸς κρυπτομένην, πρῶτος καθόσον ἡμεῖς γνωρίζομεν, ἐξέδωκεν ἐν Βενετίᾳ τῷ 1815 μετὰ τῶν μονοστίχων γνωμῶν Ἐμμανουὴλ τοῦ Χρυσολωρᾶ, τῶν ἀντιφώνων τῆς Ὀκτωήχου Ἰωάννου τοῦ Δαμασκηνοῦ καί τινων ἄλλων, ὁ ἱερομόναχος Δαμασκηνὸς ὁ ἐκ Δημητζάνης" (σ. ιδ΄, 105). Ταῦτα δὲ γράφων Νικηφόρος Καλογερᾶς περὶ Ἀντωνίου τοῦ Βυζαντίου καὶ τῆς Χρηστοηθείας αὐτοῦ παρεπλάνησε τοὺς Γερμανοὺς Α. Ἐβερχᾶρδον[1]) καὶ Κάρολον Κρουμβάχερον[2]) παραδεξαμένους Ἀντώνιον τὸν Βυζάντιον ζή-

1) Deutsche Litteraturzeitung (Berlin 1883) S. 301—2.

2) K. Krumbacher, Geschichte der byz. Litteratur² S. 464 f.

σαντα ἑνδεκάτῳ αἰῶνι, ἐν ᾧ τοὐναντίον ἔζησεν ὀκτωκαιδεκάτῳ αἰῶνι καὶ ἡ Χρηστοήθεια αὐτοῦ ἐδημοσιεύθη πολλάκις.

Πρώτην ἔκδοσιν τῆς Χρηστοηθείας γιγνώσκω γενομένην ἔτει ͵αψπ' ὑπὸ ἐπιγραφὴν „Χρηστοήθεια συντεθεῖσα παρὰ τοῦ τιμιωτάτου καὶ λογιωτάτου, ἀρίστου τε ἔν τε γραμματικῇ καὶ φιλοσοφίᾳ καὶ πάσῃ ἄλλῃ παιδείᾳ διδασκάλου τῆς πατριαρχικῆς σχολῆς Ἀντωνίου τοῦ Βυζαντίου. ἣ νῦν πρῶτον τύποις ἐξεδόθη παρὰ Νικολάῳ Γλυκεῖ, Ἐνετίῃσι, ͵αψπ'“. Ἡ ἔκδοσις αὕτη, ἧς τὴν ἐπιγραφὴν νομίζω ἀτελῆ, μνημονεύεται ἐν χειρογράφῳ βιβλίῳ, περὶ οὗ προϊὼν διηγήσομαι, καὶ ὑπὸ Γεωργίου Ζαβίρα.[1])

Τὸ δεύτερον ἐδημοσιεύθη ἐν „Ἐγκυκλοπαιδείᾳ φιλολογικῇ ἐν τέσσαρσι τόμοις διῃρημένῃ Ἰωάννου Πατούσα τοῦ ἐξ Ἀθηνῶν, ͵αψπ' Ἐνετίῃσιν 1780“ *εἰς* 8^{ov}. *Ἡ Χρηστοήθεια κεῖται ἐν τόμῳ πρώτῳ, σ.* 423—61.

Τὸ τρίτον ἐδημοσιεύθη ὑπὸ ἐπιγραφὴν τήνδε „Ἡ Χρηστοήθεια πρὸς διακόσμησιν ἠθῶν τῶν νέων πάνυ λυσιτελής, ἐκ τῆς λατινίδος μέν ποτε εἰς ἁπλῆν μετενεχθεῖσα φράσιν, κοσμηθεῖσα δὲ τῷ κάλλει τοῦ ἑλληνικοῦ χαρακτῆρος καὶ ἔν τισι προσαυξηθεῖσα χάριν τῶν σπουδαίων ὑπὸ τοῦ ἐλλογιμωτάτου καὶ ἐν σπουδαίοις ἀρίστου κυρίου Ἀντωνίου τοῦ Βυζαντίου· ἤδη ἀκριβῶς διορθωθεῖσα τὸ πρῶτον τύποις ἐξεδόθη, ͵αψπη' Ἐνετίῃσιν 1788 *παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων*“ (*εἰς* 8^{ov}, *σ.* 1—52). *τῆς ἐκδόσεως ταύτης μέμνηται Παῦλος Λάμπρος.*[2])

Τὸ τέταρτον ἐδημοσιεύθη ἔτει ͵αψϙβ' παρὰ τῷ αὐτῷ τυπογράφῳ Νικολάῳ Γλυκεῖ Ἐνετίῃσιν (*εἰς* 8^{ov}, *σ.* 1—52).

Τὸ πέμπτον ἐδημοσιεύθη ἐν „Ἐγκυκλοπαιδείᾳ φιλολογικῇ ἐν τέσσαρσι τόμοις διῃρημένῃ Ἰωάννου Πατούσα“ *͵αψϙε' Ἐνετίῃσιν εἰς* 8^{ov}. *Ἡ Χρηστοήθεια κεῖται ἐν τόμῳ πρώτῳ, σ.* 421—462.

Τὸ ἕκτον ἐδημοσιεύθη ἔτει ͵αω' παρὰ τῷ αὐτῷ τυπογράφῳ Νικολάῳ Γλυκεῖ Ἐνετίῃσιν (*εἰς* 8^{ov}, *σ.* 1—47). *τῆς ἐκδόσεως ταύτης μέμνηται Παῦλος Λάμπρος.*[3]) *Τῷ αὐτῷ ἔτει ἐδημοσιεύθη Ἐνετίῃσι παρὰ Πάνῳ Θεοδοσίῳ* (*εἰς* 8^{ov}, *σ.* 1—38). *τῆς ἐκδόσεως ταύτης ἀντίτυπον κέκτηται ὁ ἐν Ζακύνθῳ Λεωνίδας Ζώης.*

Τὸ ἕβδομον ἐδημοσιεύθη ἔτει ͵αωβ' ἐν Ἐγκυκλοπαιδείᾳ φιλολογικῇ Ἰωάννου Πατούσα Ἐνετίῃσιν, εἰς 8^{ov}. *ἡ Χρηστοήθεια κεῖται ἐν τόμῳ*

---

1) *Γεωργίου Ζαβίρα Νέα Ἑλλὰς ἢ Ἑλληνικὸν Θέατρον,* (*ἐν Ἀθήναις,* 1872, *εἰς* 8^{ov}), *σ.* 178.

2) *Παύλου Λάμπρου Κατάλογος* β^{ος} *σπανίων βιβλίων τῆς νεοελληνικῆς φιλολογίας,* (*Ἀθήνησι,* 1864, *εἰς* 8^{ov}), *σ.* 31, *ἀρ.* 89.

3) *Παύλου Λάμπρου Κατάλογος* β^{ος} *σπανίων βιβλίων, σ.* 31, *ἀρ.* 89 *σημ. Τοῦ αὐτοῦ Βιβλιακά, ἐν Πανδώρᾳ συγγράμματι περιοδικῷ,* (*Ἀθήνησι,* 1859, *εἰς* 4^{ov}), *τόμ.* θ', *σ.* 390.

πρώτῳ, σ. 421—462. τῆς ἐκδόσεως ταύτης μέμνηται Ἀνδρέας Παπαδόπουλος Βρετὸς[1]) καὶ Παῦλος Λάμπρος.[2])

Τὸ ὄγδοον ἐδημοσιεύθη ἔτει ,αωγ′ παρὰ Πάνῳ Θεοδοσίῳ Ἐνετίῃσιν (εἰς 8ον, σ. 1—38), ἐν ᾗ λέγεται „ἤδη δεύτερον ἀκριβῶς διορθωθεῖσα τύποις ἐξεδόθη“. τῆς ἐκδόσεως ταύτης μέμνηται Πᾶνος Θεοδόσιος ἐν τῷ Καταλόγῳ τῆς τυπογραφίας αὐτοῦ τοῦ ἔτους ,αωιβ′.[3])

Τὸ ἔνατον ἐδημοσιεύθη τῷ αὐτῷ ἔτει ,αωγ′ σὺν τοῖς Μύθοις Αἰσώπου τοῦ Φρυγὸς Ἐνετίῃσιν· τῆς ἐκδόσεως ταύτης μέμνηται Μανουὴλ Γεδεών.[4]) Ἡ Χρηστοήθεια κεῖται ἐν σελίσι 133—174.

Τὸ δέκατον ἐδημοσιεύθη ἔτει ,αωδ′ ἐν Ἐγκυκλοπαιδείᾳ φιλολογικῇ Ἰωάννου Πατούσα Ἐνετίῃσιν, εἰς 8ον. Ἡ Χρηστοήθεια κεῖται ἐν τόμῳ πρώτῳ, σ. 421—462.

Τὸ ἑνδέκατον ἐδημοσιεύθη ἔτει ,αωε′ παρὰ Νικολάῳ Γλυκεῖ Ἐνετίῃσιν, (εἰς 8ον, σ. 1—47). τῆς ἐκδόσεως ταύτης μέμνηται Νικόλαος Γλυκύς[5]), Ἀνδρέας Παπαδόπουλος Βρετὸς[6]) καὶ Παῦλος Λάμπρος.[7])

Τὸ δωδέκατον ἐδημοσιεύθη ἔτει ,αωι′ παρὰ Νικολάῳ Γλυκεῖ Ἐνετίῃσιν (εἰς 8ον, σ. 1—47)· τῆς ἐκδόσεως ταύτης μέμνηται Ἀνδρέας Παπαδόπουλος Βρετός[8]), Παῦλος Λάμπρος[9]) καὶ Νικόλαος Γλυκύς.[10])

Τὸ τρισκαιδέκατον ἐδημοσιεύθη ἔτει ,αωια′ Ἐνετίῃσι σὺν τοῖς Μύθοις Αἰσώπου τοῦ Φρυγὸς παρὰ Πάνῳ Θεοδοσίῳ· τῆς ἐκδόσεως ταύτης μέμνηται ὁ Κατάλογος τῆς τυπογραφίας Πάνου Θεοδοσίου τοῦ ἔτους ,αωιβ′.[11])

Τὸ τεσσαρακαιδέκατον ἐδημοσιεύθη ἔτει ,αωιγ′ σὺν τοῖς Μύθοις Αἰσώπου τοῦ Φρυγὸς ὑπὸ ἐπιγραφὴν „Αἰσώπου τοῦ Φρυγὸς βίος καὶ μῦθοι μετὰ τῆς Χρηστοηθείας Ἀντωνίου τοῦ Βυζαντίου, ᾗ προσετέθησαν

---

1) Ἀνδρέου Παπαδοπούλου Βρετοῦ Νεοελληνικὴ φιλολογία, (ἐν Ἀθήναις, 1857, εἰς 8ον), μέρ. β′, σ. 121, ἀρ. 336.

2) Παύλου Λάμπρου Κατάλογος βος σπανίων βιβλίων, σ. 31, ἀρ. 89 σημ. Τοῦ αὐτοῦ Βιβλιακά, ἐν Πανδώρᾳ συγγράμματι περιοδικῷ, τόμ. θ′, σ. 390.

3) Κατάλογος τῆς τυπογραφίας Πάνου Θεοδοσίου, (ἐν Βενετίᾳ, 1812, εἰς 8ον), σ. 6.

4) Μανουὴλ Ι. Γεδεὼν Χρονικὰ τῆς πατριαρχικῆς ἀκαδημίας, (ἐν Κωνσταντινουπόλει ,αωπγ′, εἰς 8ον), σ. 146.

5) Κατάλογος τῶν βιβλίων τῆς τυπογραφίας Νικολάου Γλυκῦ, (Ἐνετίῃσιν, 1805, εἰς 8ον), σ. 4.

6) Νεοελληνικὴ φιλολογία, μέρ. βον, σ. 136, ἀρ. 385.

7) Κατάλογος βος σπανίων βιβλίων, σ. 31 σημ., τοῦ αὐτοῦ Βιβλιακά, ἐν Πανδώρᾳ συγγράμματι περιοδικῷ, τόμ. θ′ σ. 390.

8) Νεοελληνικὴ φιλολογία, μέρ. βον, σ. 136, ἀρ. 385, σημ.

9) Κατάλογος βος σπανίων βιβλίων, σ. 31, ἀρ. 89, σημ., σ. 52, ἀρ. 164. Τοῦ αὐτοῦ Βιβλιακά, ἐν Πανδώρᾳ, τόμ. θ′, σ. 390.

10) Κατάλογος τῶν βιβλίων τῆς τυπογραφίας Νικολάου Γλυκῦ, (ἐν Βενετίᾳ, 1812, εἰς 8ον), σ. 26.

11) Κατάλογος τῆς τυπογραφίας Πάνου Θεοδοσίου, (ἐν Βενετίᾳ, 1812, εἰς 8ον), σ. 5.

καὶ ἄλλα τινὰ πάνυ ὠφέλιμα, Ἐνετίῃσι παρὰ Νικολάῳ Γλυκεῖ ͵αωιγʹ". Ἡ *Χρηστοήθεια κεῖται ἐν σελίσιν* 133—174. *Τῆς ἐκδόσεως ταύτης μέμνηται Νικόλαος Γλυκὺς*[1]) *καὶ Ἀνδρέας Παπαδόπουλος Βρετός.*[2])

Τὸ πεντεκαιδέκατον ἐδημοσιεύθη ἔτει ͵αωιεʹ Ἐνετίῃσιν ὑπὸ Δαμασκηνοῦ ἱερομονάχου τοῦ ἐκ Δημητζάνης. Ἡ Χρηστοήθεια κεῖται ἐν σελίσιν 101—158. *Τῆς ἐκδόσεως ταύτης μέμνηται Νικηφόρος Καλογερᾶς.*[3])

Τὸ ἑκκαιδέκατον ἐδημοσιεύθη ἔτει ͵αωιςʹ Ἐνετίῃσιν σὺν τοῖς Μύθοις Αἰσώπου τοῦ Φρυγός, εἰς 8ον. *Ἡ Χρηστοήθεια κεῖται ἐν σελίσιν* 133—174. *τῆς ἐκδόσεως ταύτης μέμνηται Παῦλος Λάμπρος*[4]) *καὶ Νικόλαος Γλυκὺς ἐν τῷ Καταλόγῳ τῶν παρ' αὐτῷ πωλουμένων βιβλίων τοῦ ἔτους ͵αωιηʹ.*[5])

Τὸ ἑπτακαιδέκατον ἐδημοσιεύθη ἔτει ͵αωιθʹ Ἐνετίῃσιν σὺν τοῖς Μύθοις Αἰσώπου τοῦ Φρυγός, εἰς 8ον. *Ἡ Χρηστοήθεια κεῖται ἐν σελίσιν* 133—174.

Τὸ ὀκτωκαιδέκατον ἐδημοσιεύθη ἔτει ͵αωκʹ Ἐνετίῃσιν, σὺν τοῖς Μύθοις Αἰσώπου τοῦ Φρυγός, εἰς 8ον. *Ἡ Χρηστοήθεια κεῖται ἐν σελίσιν* 133—174. *Ἐκ τοῦ Καταλόγου τῶν παρὰ Νικολάῳ Γλυκεῖ πωλουμένων βιβλίων τοῦ ἔτους ͵αωκαʹ μέμνηται ταύτης Κάρολος Ἴκενος.*[6]) *Ἀλλ' αἱ φαινόμεναι ἐκδόσεις τῶν Μύθων Αἰσώπου τοῦ Φρυγὸς σὺν τῇ Χρηστοηθείᾳ τῶν ἐτῶν ͵αωιγʹ, ͵αωιςʹ, ͵αωιθʹ καὶ ͵αωκʹ εἰσὶ μία καὶ ἡ αὐτὴ μεταλλασσομένου μόνου τοῦ ἔτους τῆς ἐπιγραφῆς ὑπὸ τοῦ τυπογράφου ὅπως ὑποτεθῇ ὑπὸ τῶν ἀγοραστῶν νέα ἔκδοσις.*

Τὸ ἐννεακαιδέκατον ἐδημοσιεύθη ἔτει ͵αωπαʹ ἐν Ἀθήναις ὑπὸ Νικηφόρου Καλογερᾶ (*εἰς* 8ον, *σ. αʹ—ιςʹ*, 1—108).

Τῆς Χρηστοηθείας Ἀντωνίου τοῦ Βυζαντίου γνωστά μοι ἐν χειρογράφοις βιβλίοις ἀντίγραφά εἰσι τάδε·

Ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν Ἄθῳ τῷ ὄρει μοναστηρίου Γρηγορίου κεῖται ἀντίγραφον ἀτελὲς ἐν τῷ ὑπ' ἀριθμῷ ρθʹ χειρογράφῳ τεύχει.[7])

Ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν Ἄθῳ τῷ ὄρει μοναστηρίου Σταυρονι-

1) *Κατάλογος τῶν βιβλίων τῆς τυπογραφίας Νικολάου Γλυκῦ,* (*ἐν Βενετίᾳ*, 1812, *εἰς* 8ον), *σ.* 5. 2) *Νεοελληνικὴ φιλολογία, μέρ. βον, σ.* 169, *ἀρ.* 508.

3) *Ἀντωνίου τοῦ Βυζαντίου συγγραφέως τῆς ιαʹ ἑκατονταετηρίδος Χρηστοήθεια,* (*ἐν Ἀθήναις*, 1881, *εἰς* 8ον), *σ.* 103.

4) *Κατάλογος βος σπανίων βιβλίων, σ.* 60, *ἀρ.* 196.

5) *Κατάλογος τῶν κοινῶν βιβλίων τῆς τυπογραφίας Νικολάου Γλυκῦ,* (*ἐν Βενετίᾳ*, 1818, *εἰς* 8ον), *σ.* 7.

6) Karl Iken, Leukothea. Eine Sammlung von Briefen eines geborenen Griechen über Staatswesen, Litteratur und Dichtkunst des neueren Griechenlands, (Leipzig, 1825, in-8°), Bd. II, S. 161.

7) *Σπυρίδωνος Π. Λάμπρου Κατάλογος τῶν ἐν ταῖς βιβλιοθήκαις τοῦ Ἁγίου ὄρους Ἑλληνικῶν κωδίκων,* (*ἐν Κανταβριγίᾳ τῆς Ἀγγλίας*, 1895, *εἰς* 4ον), *τόμ. αʹ, σ.* 58.

κήτα κεῖται ἀντίγραφον ἐν τῷ ὑπ' ἀριθμῷ ϱμη' χειρογράφῳ τεύχει ὑπὸ ἐπιγραφὴν „Χρηστοήθεια· συντεθεῖσα παρὰ τοῦ τιμιωτάτου καὶ λογιωτάτου, ἀρίστου ἔν τε γραμματικῇ καὶ φιλοσοφίᾳ καὶ πάσῃ ἄλλῃ παιδείᾳ διδασκάλου τῆς πατριαρχικῆς σχολῆς [Ἀντωνίου] τοῦ Βυζαντίου" (*φύλ.* 95ᵅ).[1])

Ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν Ἄθῳ τῷ ὄρει μοναστηρίου Ξενοφῶντος κεῖται ἀντίγραφον ἐν τῷ ὑπ' ἀριθμῷ οε' χειρογράφῳ τεύχει.[2])

Ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν Ἄθῳ τῷ ὄρει μοναστηρίου Δοχειαρίου κεῖνται ἀντίγραφα δύο ἐν τοῖς ὑπ' ἀριθμοῖς σξθ' καὶ σοζ' χειρογράφοις τεύχεσι.[3])

Ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν Ἄθῳ τῷ ὄρει μοναστηρίου Ξηροποτάμου κεῖται ἀντίγραφον ἐν τῷ ὑπ' ἀριθμῷ πγ' χειρογράφῳ τεύχει.[4])

Ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν Ἄθῳ τῷ ὄρει μοναστηρίου τῶν Ἰβήρων κεῖνται ἀντίγραφα τέσσαρα ἐν τοῖς ὑπ' ἀριθμοῖς ϱμ' (*φύλ.* 56ᵅ), *σδ'* (*φύλ.* 138ᵅ), *χνγ' καὶ χξδ' χειρογράφοις τεύχεσι.*[5])

Ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν Ἄθῳ τῷ ὄρει μοναστηρίου Παντελεήμονος κεῖται ἀντίγραφον ἐν τῷ ὑπ' ἀριθμῷ φϛ' χειρογράφῳ τεύχει.[6])

Ἐν τῇ βιβλιοθήκῃ τῆς ἐν Μηλεαῖς σχολῆς κεῖται ἀντίγραφον ἐν τῷ ὑπ' ἀριθμῷ μα' (*φύλ.* 182ᵅ—223) *χειρογράφῳ τεύχει.*[7])

Ἐν τῇ βιβλιοθήκῃ τῆς ἐν Σμύρνῃ Εὐαγγελικῆς σχολῆς κεῖται ἀντίγραφον ἐν τῷ ὑπ' ἀριθμῷ μϛ' (*Β—β*) *χειρογράφῳ τεύχει.*[8])

Ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν Θεράπναις μοναστηρίου τῶν ἁγίων Τεσσαράκοντα μαρτύρων κεῖται ἀντίγραφον ἐν τῷ ὑπ' ἀριθμῷ ξδ' (*φύλ.* 1ᵅ) *χειρογράφῳ τεύχει.*[9])

Ἐν τῇ ἐν Ἀθήναις ἐθνικῇ τῶν Ἑλλήνων βιβλιοθήκῃ κεῖνται ἀντίγραφα δύο ἐν τοῖς ὑπ' ἀριθμοῖς ͵αρκβ' καὶ ͵αφκε' χειρογράφοις τεύχεσι.[10])

---

1) *Σπυρίδωνος Π. Λάμπρου, αὐτόθ., τόμ. α', σ.* 88.

2) *Σπυρίδωνος Π. Λάμπρου, αὐτόθ., τόμ. α', σ.* 69.

3) *Σπυρίδωνος Π. Λάμπρου, αὐτόθ., τόμ. α', σ.* 263, 265.

4) *Σπυρίδωνος Π. Λάμπρου, αὐτόθ., τόμ. α', σ.* 204.

5) *Σπυρίδωνος Π. Λάμπρου, αὐτόθ., τόμ. α', σ.* 30, 58, 191, 196.

6) *Σπυρίδωνος Π. Λάμπρου, αὐτόθ., τόμ. β', σ.* 402.

7) *Ἀθανασίου Παπαδοπούλου Κεραμέως Κατάλογος τῶν Ἑλληνικῶν κωδίκων τῆς ἐν Μηλεαῖς βιβλιοθήκης, ἐν Ἐπετηρίδι τοῦ φιλολογικοῦ συλλόγου Παρνασσοῦ,* (*ἐν Ἀθήναις,* 1901, *εἰς* 8ᵒᵛ), *ἔτει ϛ'*, *σ.* 34—5.

8) *Ἀθανασίου Παπαδοπούλου Κεραμέως Κατάλογος τῶν χειρογράφων τῆς ἐν Σμύρνῃ βιβλιοθήκης τῆς Εὐαγγελικῆς σχολῆς,* (*ἐν Σμύρνῃ,* 1877, *εἰς* 4ᵒᵛ), *σ.* 31.

9) *Νίκου Βέη Κατάλογος τῶν χειρογράφων κωδίκων τῆς ἐν Θεράπναις μονῆς τῶν ἁγίων Τεσσαράκοντα, ἐν Ἐπετηρίδι τοῦ φιλολογικοῦ συλλόγου Παρνασσοῦ,* (*ἐν Ἀθήναις,* 1904, *εἰς* 8ᵒᵛ), *ἔτει η'*, *σ.* 138.

10) *Ἰωάννου καὶ Ἀλκιβιάδου Σακκελίωνος Κατάλογος τῶν χειρογράφων· τῆς ἐθνικῆς βιβλιοθήκης τῆς Ἑλλάδος,* (*ἐν Ἀθήναις,* 1892, *εἰς* 8ᵒᵛ), *σ.* 204.

Ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν τῇ νήσῳ Πάτμῳ μοναστηρίου ἁγίου Ἰωάννου τοῦ Θεολόγου κεῖνται ἀντίγραφα δύο ἐν τοῖς ὑπ' ἀριθμοῖς φπϛ' καὶ φϙ' χειρογράφοις τεύχεσι.[1]

Ἐν τῇ ἐν Ἱεροσολύμοις πατριαρχικῇ βιβλιοθήκῃ κεῖνται ἀντίγραφα δέκα ἐν τοῖς ὑπ' ἀριθμοῖς τθ', υνδ' (φύλ. 1—44), *υξα' (φύλ.* 1—*κέ.*), *υξβ' (φύλ.* 1—*κέ.*), *υξε', υοε' (ἀκέφαλον ἀντίγραφον), υπγ', φ', ξδ' (φύλ.* 164—9β) *καὶ ρθ' χειρογράφοις τεύχεσι.*[2]

Ἐν τῇ βιβλιοθήκῃ τῆς ἐν Βουκουρεστίοις βιβλιοθήκης τῆς Ἀκαδημίας ἐν τοῖς ὑπ' ἀριθμοῖς μδ' (φύλ. λε') καὶ οϛ' (φύλ. λθ') χειρογράφοις τεύχεσι κεῖνται ἀντίγραφα δύο.[3]

Ἐν Βελεγράδοις κεῖται ἀντίγραφον ἐν τῷ ὑπ' ἀριθμῷ 43 *χειρογράφῳ τεύχει.*[4]

Καὶ ἄλλα βεβαίως λανθάνουσί με ἀντίγραφα τῆς Χρηστοηθείας Ἀντωνίου τοῦ Βυζαντίου μὴ δυνηθεὶς ἵνα ἴδω πάντας τοὺς γνωστοὺς ἐμοὶ καταλόγους χειρογράφων βιβλίων.

Ὁ Ἀντώνιος ἦν Κωνσταντινουπολίτης καὶ ἀδελφὸς τοῦ ἐπίσης ἐλλογίμου ἀνδρὸς Χουρμουζίου.[5] *ἐὰν δ' ὁ Ἀντώνιος οὗτος, ὡς γράφει Ἀλέξανδρος Λαυριώτης, εἶναι ὁ γράψας θέματα εἰσαγωγικὰ κατὰ τὴν γραμματικὴν Λασκάρεως (συντεθέντα παρὰ τοῦ ἀρίστου ἐν διδασκάλοις κυρίου Ἀντωνίου Κεφαλεωνᾶ), βεβαίως οὗτος ἐπεκαλεῖτο Κεφαλεωνᾶς.*[6]

---

1) *Ἰωάννου Σακκελίωνος Πατμιακὴ βιβλιοθήκη ἤτοι ἀναγραφὴ τῶν ἐν τῇ βιβλιοθήκῃ τῆς κατὰ τὴν νῆσον Πάτμον .. μονῆς .. ἁγίου Ἰωάννου τοῦ Θεολόγου τεθησαυρισμένων χειρογράφων τευχῶν, (ἐν Ἀθήναις, ͵αωϙ', εἰς φύλ.), σ.* 243—4, 245.

2) *Ἀθανασίου Παπαδοπούλου Κεραμέως Ἱεροσολυμιτικὴ βιβλιοθήκη ἤτοι κατάλογος τῶν ἐν ταῖς βιβλιοθήκαις .. τοῦ θρόνου τῶν Ἱεροσολύμων καὶ πάσης Παλαιστίνης ἀποκειμένων Ἑλληνικῶν κωδίκων, (ἐν Πετρουπόλει,* 1894, *εἰς* 8ον), *τόμ. β*ος, *σ.* 435, 554, 557, 558, 561, 563, 568. *τόμ. γ*ος *(ἐν Πετρουπόλει* 1897, *εἰς* 8ον), *σ.* 122—3, *τόμ. δ*ος, *(ἐν Πετρουπόλει,* 1899, *εἰς* 8ον), *σ.* 103.

3) Constantin Litzica, Manuscrisele Grecesci din biblioteca Academiei Române, (Bucuresci, 1900, in-4⁰) pp. 47, 68. *πρβ.* D. Rousso, Manuscrisele Grecești din Academiei Romana (Bucuresci, 1901, in-8⁰), p. 13—14, 16.

4) *Ἀνθίμου Ἀλεξούδη Κατάλογος τῶν ἐν ταῖς ἱεραῖς ἐκκλησίαις τῆς συνοικίας κάστρου, πόλεως Βερατίου τῆς μητροπόλεως Βελεγράδων εὑρισκομένων ἀρχαίων χειρογράφων, ἐν Δελτίῳ τῆς ἱστορικῆς καὶ ἐθνολογικῆς ἑταιρίας τῆς Ἑλλάδος, (ἐν Ἀθήναις,* 1897, *εἰς* 8ον), *τόμ. ε' σ.* 367—8.

5) *Δημητρίου Προκοπίου Ἐπιτετμημένη ἐπαρίθμησις τῶν κατὰ τὸν παρελθόντα αἰῶνα λογίων Γραικῶν καὶ περί τινων ἐν τῷ νῦν αἰῶνι ἀνθούντων, ἐν* Ioannis Alberti Fabricii Bibliotheca Graeca sive notitia scriptorum veterum Graecorum, ed. Gottlieb Christophoro Harles, (Hamburgi, 1808, in-4⁰), tom. XI, p. 545 *καὶ ἐν Κωνσταντίνου Ν. Σάθα Μεσαιωνικῇ βιβλιοθήκῃ, (ἐν Βενετίᾳ,* 1872, *εἰς* 8ον), *τόμ.* 8ῳ, *σ.* 491. *Γεωργίου Ζαβίρα Νέα Ἑλλὰς ἢ Ἑλληνικὸν Θέατρον, σ.* 547. *Ἀθανασίου Παπαδοπούλου Κεραμέως Ἔκθεσις περὶ τῶν ἐν τῇ βιβλιοθήκῃ τῆς Παλαιᾶς Φωκαίας Ἑλληνικῶν χειρογράφων, (ἐν Σμύρνῃ,* 1876, *εἰς* 4ον), *σ.* 3. *Γεωργίου Βεντότη Προσθήκη τῆς ἐκκλησιαστικῆς ἱστορίας Μελετίου, (ἐν Βιέννῃ,* 1795, *εἰς* 4ον), *τόμ. δ', σ.* 72.

6) *Ἀλεξάνδρου Ε. Λαυριώτου Βιογραφία Κυρίλλου Λαυριώτου, ἐν Ἐκκλησιαστικῇ*

ἐγεννήθη δὲ περὶ τὰ τέλη τοῦ ἑπτακαιδεκάτου αἰῶνος καὶ ἠκροάσατο τῶν ἐν Κωνσταντινουπόλει διδασκάλων ἐν τῇ μεγάλῃ τοῦ γένους σχολῇ, ἐν οἷς τοῦ τὴν φιλοσοφίαν καὶ ῥητορικὴν διδάσκοντος Ἰακώβου Μάνα τοῦ Ἀργείου· τὴν δὲ λατινίδα ἐδιδάχθη παρὰ Νικολάῳ Μαυροκορδάτῳ, ὡς ἐκ τοῦδε τοῦ γραπτοῦ σημειώματος αὐτοῦ τούτου γίγνεται δῆλον·

„Ἰδιόχειροι ἀποσημειώσεις τοῦ αὐτοῦ (Ἀντωνίου).

͵αψγ΄ ἔτει φεβρουαρίου ιζ΄ „ἠρξάμεθα τῆς ῥητορικῆς τέχνης ἐπὶ Ἰακώβου διδ(ασκάλου)".

καὶ ͵αψδ΄ ἔτει φεβρουαρίου ιη΄ „Θεοῦ συναιρομένου πέρας ἐπεθέμεθα. Ἰστέον μέντοι, ὅτι ἀπὸ ἰουλίου 1ης μέχρι κης τοῦ ὀκτωβρίου ἐκεχειρίας εἴχομεν καὶ παύλαν τοῦ ἀναγινώσκειν διὰ τὴν τότε τοῦ δήμου πρὸς τὸν κρατοῦντα ἀνταρσίαν" (εἰς τὸ τέλος τοῦ περὶ ψυχῆς τοῦ Ἀριστοτέλους ὑπομνήματος τοῦ Κορυδαλ(έως)).

Τῇ πανθειουργῷ Τριάδι δόξα ἔστω
κράτος ἅμα τε εἰς πάντας τοὺς αἰῶνας·
δῶρον προνοίας καὶ πόνος Ἀντωνίου.

Ἐν ἔτει ͵αψε΄ πυανεψιῶνος τὴν πρώτην δεκάδα παραλλάξαντες.

Ἐν τῇ ἀπαριθμήσει τῶν ὧν ἀνέγνω ὁ αὐτὸς λατινικῶν βιβλίων.

+ ͵αψθ΄ ἔτει φεβρουαρίου ιγ΄, ἄρχισα τὴν λατινίδα παρὰ τῷ ἐνδοξοτάτῳ καὶ σοφωτάτῳ μεγάλῳ ἑρμηνεῖ τῆς κραταιᾶς βασιλείας, κυρίῳ Νικολάῳ Μαυροκορδάτῳ, καὶ μεγάλῳ λογοθέτῃ τῆς μεγάλης ἐκκλησίας· Ἀντώνιος".

Ἐκ τῶν αὐτῇ χειρὶ σημειωμάτων τοῦ Ἀντωνίου δὲν φαίνεταί μοι ἀκριβὲς ὅτι ἀπὸ τοῦ ἔτους ͵αψε΄ ἦν διδάσκαλος τῆς πατριαρχικῆς μεγάλης τοῦ γένους σχολῆς, ὅτε προσεφώνησε τὸν πατριάρχην Γαβριὴλ τὸν ἀπὸ Χαλκηδόνος, διότι λέγει ἐν τῇ προσφωνήσει „κοινὸν ἡμῖν προὔθηκεν (ὁ πατριάρχης) πρυτανεῖον τῶν λόγων καθηγητὰς ἡμῖν τοὺς μηδένα πόνον ἀποσειομένους, ὅπως τι ὄφελος πρὸς παιδείαν γένοιτο"[1]· ὁ Ἀντώνιος προσεφώνησε τὸν πατριάρχην ἐκ μέρους τῶν μαθητῶν τῆς σχολῆς, ἧς ὀψιαίτερον ἐγένετο διδάσκαλος· ὅτε δ' ἔτει ͵αψη΄ προσεφώνησε τὸν πατριάρχην Κυπριανὸν τὸν ἀπὸ Καισαρείας τῆς ἐν Καππαδοκίᾳ ἐδίδασκεν ἐν τῇ σχολῇ, διότι λέγει ἐν ταύτῃ „καὶ ἡμεῖς οἱ τῆς παιδείας ἔμποροι"[2]) ὡς διδάσκαλος δὲ τῶν γραμματικῶν προϊσταμένου τῆς σχολῆς Ἰακώβου Μάνα τοῦ Ἀργείου, ὅτε καὶ λογοθέτης γενικοῦ

ἀληθείᾳ συγγράμματι περιοδικῷ, (ἐν Κωνσταντινουπόλει, 1887, εἰς 8ον), περιόδῳ δευτέρᾳ, τόμ. δ΄, σ. 117.

1) Μανουὴλ Ι. Γεδεὼν Χρονικὰ τῆς πατριαρχικῆς ἀκαδημίας, σ. 115. Ἐπαμεινώνδου Σταματιάδου Ἐκκλησιαστικὰ σύλλεκτα, (ἐν Σάμῳ, 1891, εἰς 8ον), σ. 57. Χειρόγραφον τεῦχος παρ' ἐμοὶ κείμενον, φύλ. ιζα.

2) Χειρόγραφον τεῦχος παρ' ἐμοὶ κείμενον, φύλ. λςβ.

τῆς μεγάλης ἐκκλησίας ἦν, διότι ἔτει ͵αψι΄ ὢν τοιοῦτος ἔγραψε τρία ἐπιγράμματα προτασσόμενα τῆς Πανοπλίας δογματικῆς Ἀλεξίου Κομνηνοῦ τῆς ἔτει ͵αψι΄ δημοσιευθείσης ἐν Τεργοβύστῳ, εἰς ἃ ὑπογράφει „λογοθέτης γενικοῦ τῆς μεγάλης ἐκκλησίας καὶ διδάσκαλος τῆς ἐν Κωνσταντινουπόλει σχολῆς". ὥστε τὸ τοῦ Ματθαίου Παρανίκα λεγόμενον ὅτι ἡγήσατο τῆς σχολῆς μετὰ Ἰάκωβον τὸν Ἀργεῖον ἔτει ͵αψκα΄ ἔστιν ἀνακριβές.[1]) Πιθανῶς ὁ Ἀντώνιος ἐδίδαξεν ἐν τῇ σχολῇ μέχρι τέλους τοῦ ἔτους ͵αψκ΄, ὅτε καὶ ἀπέθανε· κατὰ τὸ ἐν τέλει δημοσιευόμενον σημείωμα τῶν ὧν συνέγραψεν ὁ Ἀντώνιος, ἡ Χρηστοήθεια ἐσχεδιάσθη μηνὶ νοεμβρίῳ τοῦ ἔτους ͵αψκ΄· ὁ δὲ Δημήτριος Προκόπιος ὁ μηνὶ ἰουνίῳ τοῦ ἔτους ͵αψκα΄ συγγράψας τὴν „ἐπιτετμημένην ἐπαρίθμησιν" γράφει περὶ τοῦ Ἀντωνίου ὡς προαποθανόντος τάδε „Ἀντώνιος Βυζάντιος, διδάσκαλος τῆς ἐν Κωνσταντινουπόλει σχολῆς, ἀνὴρ ἐλλόγιμος, φιλόπονος, φιλομαθής, δαήμων τῆς Ἑλληνικῆς γλώσσης, πεπαιδευμένος τήν τε θύραθεν φιλοσοφίαν καὶ τὴν καθ' ἡμᾶς ἱερὰν θεολογίαν· πολλῆς ἂν εἴη ὠφελείας πρόξενος τοῖς φιλολόγοις τῶν νέων τῇ προόδῳ τοῦ χρόνου, εἰ μή γε κομιδῇ νέος ἐξ ἀνθρώπων ἐγένετο".[2]) καὶ Δημήτριος Καντεμίρης[3]), καὶ Γεώργιος Βεντότης[4]), καὶ Γεώργιος Ζαβίρας[5]), καὶ Κάρολος Ἴκενος[6]), καὶ Κωνστάντιος ὁ ἀπὸ Σιναίου[7]) μέμνηνται τοῦ Ἀντωνίου. Τῶν μαθητῶν τις τοῦ Ἀντωνίου ἀπήγγειλε λόγον εἰς τὸ μνημόσυνον αὐτοῦ ὄντα λόγου ἀνάξιον, ἐν ᾧ ἀποκαλεῖ τὸν Ἀντώνιον „μυροθήκην τῶν

1) *Ματθαίου Παρανίκα Σχεδίασμα περὶ τῆς ἐν τῷ Ἑλληνικῷ ἔθνει καταστάσεως τῶν γραμμάτων ἀπὸ ἁλώσεως Κωνσταντινουπόλεως, (ἐν Κωνσταντινουπόλει,* 1867, *εἰς* 8ον), *σ.* 27.

2) *Δημητρίου Προκοπίου Ἐπιτετμημένη ἐπαρίθμησις τῶν κατὰ τὸν παρελθόντα αἰῶνα λογίων Γραικῶν καὶ περί τινων ἐν τῷ νῦν αἰῶνι ἀνθούντων, ἐν* Ioannis Alberti Fabricii Bibliotheca Graeca sive notitia scriptorum veterum Graecorum, ed. Gottlieb Christophoro Harles, tom. XI, p. 545 *καὶ ἐν Κωνσταντίνου Ν. Σάθα Μεσαιωνικῇ βιβλιοθήκῃ, τόμ. γ΄, σ.* 491.

3) Histoire de l'empire Othoman où se voyent les causes de son aggrandissement et de sa décadence, trad. par M. de Joncquieres (Paris 1743, in-4°), tom. II, p. 38.

4) *Γεωργίου Βεντότη Προσθήκη τῆς ἐκκλησιαστικῆς ἱστορίας Μελετίου, τόμ. δ΄, σ.* 66—7, 222.

5) *Γεωργίου Ζαβίρα Νέα Ἑλλὰς ἢ Ἑλληνικὸν Θέατρον, σ.* 177—8.

6) Karl Iken, Leukothea. Eine Sammlung von Briefen . . . Bd. II, S. 161.

7) *Κωνσταντίου τοῦ ἀπὸ Σιναίου περὶ τῆς πατριαρχικῆς σχολῆς, ἐν Θεοδώρου Μ. Ἀριστοκλέους Κωνσταντίου τοῦ ἀπὸ Σιναίου βιογραφίᾳ καὶ συγγραφαῖς ταῖς ἐλάσσοσιν ἐκκλησιαστικαῖς τε καὶ φιλολογικαῖς, (ἐν Κωνσταντινουπόλει,* 1866, *εἰς* 8ον), *σ.* 354—5. *Τοῦ αὐτοῦ Κωνσταντινιὰς παλαιά τε καὶ νεωτέρα ἤτοι περιγραφὴ Κωνσταντινουπόλεως, (ἐν Βενετίᾳ,* 1820, *εἰς* 8ον), *σ.* 113 *καὶ (ἐν Κωνσταντινουπόλει,* 1844, *εἰς* 8ον), *σ.* 147. *Τοῦ αὐτοῦ ἐπιστολὴ περὶ τῆς μεγάλης τοῦ γένους σχολῆς, ἐν Περιοδικῷ συγγράμματι τοῦ ἐν Κωνσταντινουπόλει Ἑλληνικοῦ φιλολογικοῦ συλλόγου, (ἐν Κωνσταντινουπόλει,* 1864, *εἰς* 4ον), *ἔτει β΄, σ.* 289.

χαρίτων, ἔμψυχον ἄγαλμα τῆς ἀρετῆς, παράδεισον στολισμένον, περικαλλῆ ναόν". Καισάριος Δαπόντες ταυτίζει τὸν Ἀντώνιον μετὰ Σπανδωνῆ τοῦ Βυζαντίου.

Ἐκ τῶν συγγραμμάτων τοῦ Ἀντωνίου ἡ Χρηστοήθεια ἐγένετο τῶν ἐν τῇ διδασκαλίᾳ χρησιμωτάτων βιβλίων, τοῦτο δηλοῦται ἐκ τῶν πολλῶν ἐκδόσεων καὶ τῶν πολλῶν ἐν χειρογράφοις ἀντιγράφων ταύτης. Καισάριος Δαπόντες περὶ ταύτης λέγει ὅτι „παρεδίδετο μάθημα εἰς τὰ σχολεῖα διὰ τὴν καλὴν φράσιν".[1]) καὶ Κωνσταντῖνος Κούμας λέγει ὅτι ὁ Ἀντώνιος „ἡρμήνευσεν ἐκ τοῦ λατινικοῦ τὴν εἰς ὅλους μας γνωστὴν Χρηστοήθειαν".[2]) ἀλλ' ὁ Ἀντώνιος δὲν ἡρμήνευσεν ἐκ τοῦ λατινικοῦ τὴν Χρηστοήθειαν, ἀλλὰ ταύτην ἑρμηνευθεῖσαν παρ' ἄλλου μετήνεγκεν εἰς τὸ ἀρχαῖον· περὶ τούτου ἐν τῇ ἐκδόσει τοῦ ἔτους ͵αψπ' κεῖνται τάδε „Χρηστοήθεια τὸ παρὸν ὀνομάζεται σύγγραμμα, χρηστότητα ἠθῶν καὶ κοσμιότητα τρόπου ὑποτιθέμενον. Μετενήνεκται δ' ὑπό τινος ἐκ τῆς λατινίδος φωνῆς εἰς ἁπλῆν φράσιν. Μετωχετεύσατο δ' αὖθις εἰς τὴν Ἑλληνικὴν ὁ ἐλλόγιμος καὶ ἐν σπουδαίοις ἄριστος Ἀντώνιος ὁ Βυζάντιος, ὁ τῆς ἐν Κωνσταντινουπόλει σχολῆς τῶν γραμματικῶν μαθημάτων καθηγητής, ἃ μὲν προσθείς, ἃ δὲ ἀφελόμενος, τοῦ ἁπλοῦ ἀτελοῦς καὶ ἀκόσμου τυγχάνοντος. Καταγλαΐσας δ' ἐκεῖνος τῷ κάλλει τοῦ Ἑλληνικοῦ χαρακτῆρος ναὶ μὴν καὶ κοσμήσας ποικίλῃ τῇ προσθήκῃ τῶν νοημάτων εἰς φῶς ἤγαγε καὶ τοῖς φιλολόγοις καὶ ἀναγινώσκουσιν αὐτὸ (ὡς ἔχουσιν ἐντεῦθεν ῥυθμίζειν, καὶ τὰ ἤθη κοσμεῖν) πολλοῖς τε ὑποθήκας ἐνέθηκεν· ᾧ τινι οἱ ἐντυγχάνοντες τὸν ἄνδρα θαυμαζόντων, τῷ τε ὕψει τῆς φράσεως, καὶ τῇ τοῦ λόγου ἰδέᾳ, καὶ δι' εὐφήμου γλώττης ὅ τι μάλιστα ἀγόντων. Χρηστοήθεια δ' ἐστι καὶ ἡ παρ' Ἰταλοῖς Galaleo καλουμένη βίβλος".[3]) Ἐν δὲ χειρογράφῳ τεύχει παρ' ἐμοὶ ἀποκειμένῳ λέγονται περὶ τῆς Χρηστοηθείας τάδε „Χρηστοήθεια συντεθεῖσα παρὰ τοῦ τιμιωτάτου καὶ λογιωτάτου ἀρίστου τε ἔν τε γραμματικῇ καὶ φιλοσοφίᾳ καὶ πάσῃ ἄλλῃ παιδείᾳ διδασκάλου τῆς πατριαρχικῆς σχολῆς Ἀντωνίου τοῦ Βυζαντίου·

Τοῦτο λοιπὸν τὸ σύγγραμμα, ἐτοῦτο τὸ βιβλίον
λέγεται Χρηστοήθεια, καλῶν ἠθῶν σχολεῖον,

1) Καισαρίου Δαπόντε Κατάλογος ἱστορικὸς ἀξιόλογος τῶν καθ' ἡμᾶς χρηματισάντων ἐπισήμων Ῥωμαίων .., ἐν Κωνσταντίνου Ν. Σάθα Μεσαιωνικῇ βιβλιοθήκῃ, τόμ. γ', σ. 190 καὶ ἐν Constantin Erbiceanu Cronicariĭ Grecĭ cariĭ au scris despre Românĭ in epoca Fanariota, (Bucureştĭ, 1888, in-4°), p. 201.

2) Κωνσταντίνου Κούμα Ἱστορίαι τῶν ἀνθρωπίνων πράξεων, (ἐν Βιέννῃ, 1832, εἰς 8ον), τόμ. ιβος, σ. 574. Ἀναγέννησις τῶν γραμμάτων ἐν τῇ Ἀνατολῇ, ἐν Χρυσαλλίδι συγγράμματι περιοδικῷ, (ἐν Ἀθήναις, 1866, εἰς φύλ.), τόμ. δ', σ. 578.

3) Ἰωάννου Πατούσα Ἐγκυκλοπαιδεία φιλολογικὴ εἰς τέσσαρας τόμους διῃρημένη, (Ἐνετίῃσιν, 1780, εἰς 8ον), τόμ. α', σ. 423.

ὅτι χρηστότητα ἠθῶν αὐτὸ μᾶς ἑρμηνεύει,
ὅλους μεγάλους καὶ μικροὺς ἄριστα συμβουλεύει.
αὐτὸ ἀπ' τὴν λατινικὴν διάλεκτον καὶ στάσιν 5
ἕνας τὸ ἐμετέφρασεν εἰς τὴν ἁπλῆν μας φράσιν·
ἔπειτα ὁ Ἀντώνιος σχολῆς τῶν ἐγκυκλίων
τῆς Κωνσταντινουπόλεως διδάσκαλος καλλίων,
ἄλλα αὐτὸς προσθέτοντας, ἄλλα δὲ ἀφαιρώντας,
ἀκόσμητον καὶ ἀτελὲς τὸ πρῶτον ἁπλοῦν ὄντας 10
τὸ ἔκαμεν Ἑλληνικὸν καὶ ὑπερεπαινεῖται,
ὅθεν καὶ παραδίδεται μάθημα κ' ἐξηγεῖται.

"Ἡ νῦν πρῶτον τύποις ἐξεδόθη παρὰ Νικολάῳ Γλυκεῖ Ἑνετίησι ͵αψπ΄."

Ἡ Χρηστοήθεια τοῦ Ἀντωνίου μετεφράσθη σλαβωνιστὶ καὶ ἐδημοσιεύθη ἐν Βιέννῃ ἔτει ͵αψπς΄.[1]) Καισάριος Δαπόντες μεθηρμήνευσε τὴν Χρηστοήθειαν τοῦ Ἀντωνίου εἰς στίχους ἁπλοῦς δημοσιευθεῖσαν ἐν Βενετίᾳ ἔτει ͵αψο΄ παρὰ Δημητρίῳ Θεοδοσίῳ.[2]) Ὁ δὲ Δανιὴλ Κεραμεὺς μεθηρμήνευσεν τὴν Χρηστοήθειαν εἰς στίχους ἰαμβικούς, ἧς ἀντίγραφον κεῖται ἐν τῷ ὑπ' ἀριθμῷ χμη΄ χειρογράφῳ τεύχει τῆς ἐν Ἄθῳ τῷ ὄρει βιβλιοθήκης τοῦ μοναστηρίου ἁγίου Παντελεήμονος[3]), καὶ ἕτερον ἐν τῷ ὑπ' ἀριθμῷ 8234 χειρογράφῳ τεύχει τῆς ἐν Λονδίνῳ βιβλιοθήκης τοῦ Βρεττανικοῦ μουσείου τῆς συλλογῆς Additional ὑπὸ ἐπιγραφὴν τήνδε „Παράφρασις διὰ στίχων ἰάμβων τῆς Χρηστοηθείας Ἀντωνίου Βυζαντίου τοῦ διδασκάλου, φιλοπονηθεῖσα χάριν τῶν εἰσαγωγικῶν παρὰ Δανιὴλ μοναχοῦ Πατμίου τοῦ Κεραμέως τῆς κατὰ Πάτμον σχολῆς καὶ γραμματικοῦ διδασκάλου." Καὶ ἐν τῷ ὑπ' ἀριθμῷ χξθ΄ χειρογράφῳ τεύχει τῆς ἐν Ἄθῳ τῷ ὄρει βιβλιοθήκης τῶν Ἰβήρων κεῖται „Ἡ ἐξήγησις τῆς Χρηστοηθείας, ποίημα".[4]) Καὶ ἐν τῷ ὑπ' ἀριθμῷ νη΄ χειρογράφῳ τεύχει τῆς βιβλιοθήκης τοῦ θρόνου τῶν Ἱεροσολύμων κεῖται „Ἐξήγησις

1) Ἑρμῆς ὁ Λόγιος ἢ φιλολογικαὶ ἀγγελίαι ὑπὸ Ἀνθίμου Γαζῆ ἐκδιδόμεναι, (ἐν Βιέννῃ, 1811, εἰς 8ον), περιόδ. α΄, σ. 79. Ἀνδρονίκου Δημητρακοπούλου Προσθῆκαι καὶ διορθώσεις εἰς τὴν νεοελληνικὴν φιλολογίαν Κωνσταντίνου Σάθα, (ἐν Λειψίᾳ, 1871, εἰς 8ον), σ. 97.

2) Ἀνδρέου Παπαδοπούλου Βρετοῦ Νεοελληνικὴ φιλολογία ἤτοι κατάλογος τῶν ἀπὸ τῆς πτώσεως τῆς Βυζαντινῆς αὐτοκρατορίας . . τυπωθέντων βιβλίων, (ἐν Ἀθήναις, 1854, εἰς 8ον), μέρ. α΄, σ. 90, ἀρ. 253. Γεωργίου Ζαβίρα Νέα Ἑλλὰς ἢ Ἑλληνικὸν Θέατρον, σ. 392. William Martin Leake, Researches in Greece. (London, 1814, in-4°), p. 89. Karl Iken, Leukothea. Eine Sammlung von Briefen . . ., Bd. II, S. 111.

3) Σπυρίδωνος Π. Λάμπρου Κατάλογος τῶν ἐν ταῖς βιβλιοθήκαις τοῦ Ἁγίου ὄρους Ἑλληνικῶν κωδίκων, τόμ. β΄, σ. 410.

4) Σπυρίδωνος Π. Λάμπρου Κατάλογος τῶν ἐν ταῖς βιβλιοθήκαις τοῦ Ἁγίου ὄρους Ἑλληνικῶν κωδίκων, τόμ. β΄, σ. 196.

τῆς Χρηστοηθείας Ἀντωνίου τοῦ Βυζαντίου τοῦ διδασκάλου κυρίου Κυρίλλου".[1])

Ἔγραψε δὲ ὁ Ἀντώνιος κατὰ σημείωμα κείμενον ἐν τέλει τοῦ εἰρημένου χειρογράφου βιβλίου τάδε·

„Συγγράμματα τοῦ αὐτοῦ γυμνασιάρχου Ἀντωνίου. Τὸ παρὸν πόνημα ἐπιγραφόμενον Χρηστοήθεια, σχεδιασθὲν ἐν ἔτει ͵αψκ', μηνὶ νοεμβρίῳ, ὃ καὶ τύποις ἐξεδόθη Ἑνετίησιν 1780 παρὰ Νικολάῳ Γλυκεῖ.

Περὶ φιλίας, οὗ ἡ ἐπιγραφὴ πῶς χρηστέον τοῖς φίλοις· καὶ τόδε τυπωθὲν μετὰ τῆς Χρηστοηθείας καὶ περιεχόμενον ἐν τῷ ἐσχάτῳ κεφαλαίῳ αὐτῆς.

Ἀνθεὼν ὕλης ἠθικῆς εἰς διαφόρους ἠθικὰς ὑποθέσεις συμβαλλούσας καὶ εἰς ἐξοδίους μονῳδίας παννυχίῳ πόνῳ σχεδιασθείς.

Ἀνθολογικόν, οὗ μνείαν ποιεῖται εἰς τὸν Κατάλογον τῶν ἀνεγνωσμένων αὐτῷ Ἑλληνικῶν βιβλίων, ἀριθμῷ 18.

1) Einen Hofbeamten der Kaiserin Anna von Savoyen (Anf. d. 14. Jahrh.) namens Kyriakos erwähnt Kantakuzenos; vgl. ed. Bonn. unter „Cyriacus" im Index (die Stelle selbst, da sie falsch zitiert wird, konnte ich nicht finden). Allein wir wissen nicht einmal, ob er Magister (sc. officiorum), noch weniger aber, ob er mit dem unsrigen identisch war.

2) V. 1 des Alphabetes des Kyriakos (*Ἀπὸ χειλέων ῥήματα . . .*) erinnert an V. 1 des Bußliedes des Uranos Magister (*Ἀπὸ χειλέων λόγους σοι . . .*). Trotzdem aber ist die Verwandtschaft der zwei Texte nicht notwendig; denn

Aber haben wir es hier mit einem Terminus post oder mit einem Terminus ante quem zu tun? Das erste scheint mir wahrscheinlicher als das zweite, weil der weitaus bedeutendere Schriftsteller Metaphrastes von dem sonst ganz dunkeln Kyriakos eher nachgeahmt werden dürfte, als umgekehrt. Jedoch ganz fest steht das nicht. — Man vermißt in unserem Bußliede in der Fassung des Cod. Athen. äußerlich einen Vers des Akrostichisbuchstabens *Φ*, beide Verse des *Ψ*, und inhaltlich die charakteristische Anrede an die eigene Seele, so daß das Gedicht gar nicht hierher zu gehören scheint. Aber das fehlende war im ursprünglichen Texte wohl da, wie auch das verwandte Bußlied des Metaphrastes vollständig ist, und zwar, die Verse des *Ψ* müssen, wie es wieder mit dem Gedichte des Metaphrastes der Fall ist, wahrscheinlich gerade die Anrede an die Seele enthalten haben (*Ψυχὴ* . . .).

Der Text Nr. I 4 (S. 495 ff.) — ein alphabetisches Bußlied „An die eigene Seele“ aus 24 Tristicha im politischen Versmaße, angeblich von Athanasios dem Großen — steht im Cod. Athous 4837 s. 17 fol. 2ᵇ—6ᵃ. Seine Zuteilung an Athanasios[1]) ist selbstverständlich falsch. Man kann feststellen, daß das Alphabet mit einigen Texten zusammenhängt, die viel jünger sind als Athanasios, nämlich:

a) Mit dem oben besprochenen Bußliede des Niketas von Klaudiopolis; vgl. die beiden Gedichten gemeinsame tristichische Textgliederung, und:

Unser Alph. *B* (V. 4) *Βέλει τρωθεῖσα τοῦ ἐχθροῦ* . . .	gegenüber Nik. *B* (V. 4) *Βέλει τρωθεῖσα πονηροῦ* . . .[2])
Unser Alph. *E* (V. 13) *Ἔσχε λῃστὴς παράδεισον τὸ „μνήσθητι“ βοήσας*	gegenüber Nik. *E* (V. 14) *ὡς ὁ λῃστὴς τὸ „μνήσθητι“ βόησον ἐκ καρδίας*
Unser Alph. *T* (V. 56) *ἔργα γὰρ σκότους ἔπραξας* . . .	gegenüber Nik. *K* (V. 30) . . . *τοῖς ἔργα σχοῦσι σκότους.*

auch andere Lieder fangen ähnlich an, z. B. ein alphabetischer Hymnus des Photios (*Ἀπὸ χειλέων ὕμνον*; ed. Migne, Patr. gr. 102, 577; Christ-Paranikas a. a. O. S. 50), ein Gedicht des Johannes Damaskenos (?) (*Ἀπὸ ῥυπαγῶν χειλέων*; ed. Migne, Patr. gr. 96, 853).

1) Vgl. S. 482 Anm. 1. Auf meiner heurigen Athosreise stellte ich dieses Alphabet noch im Cod. 921 des Klosters Vatopedi s. 19 fol. 12ᵃ—13ᵇ fest. Titel: *Ἀθανασίου τοῦ μεγάλου ἀλφάβητος.*

2) Ein ähnlicher Vers im Akrostichisbuchst. *B* kommt außer bei Niketas noch in anderen Alphabeten vor, wie im oben zitierten Bußliede des Metaphrastes (s. S. 482), im anonymen Bußliede, welches Boissonade, An. gr. IV 442 und Migne, Patr. gr. 117, 1189 edierten (*Βέλεσι τέτρωμαι παθῶν, βέλεσι ψυχοφθόροις*). Jedoch,

b) Mit dem „paränetischen Alphabete“ Πρὸς φιλόπονον παῖδα (ed. C. Fr. Müller, BZ III 521), das wohl nicht vor dem 14. Jahrh. entstanden ist (s. Anastasijewić, Die paränetischen Alphabete in der gr. Lit., Diss. München 1905. S. 44 ff.). Vgl. unser Alph. *N* (V. 37) *Ναὸν, ψυχή μου, ποίησον σαυτὴν ἡγιασμένον* gegenüber dem Alph. *Πρὸς φιλόπ. παῖδα N* (V. 13) *Ναὸν σεαυτὸν τεῦξον ἡγιασμένον.*[1])

Das sind zweifellos Reminiszenzen, und zwar wohl Reminiszenzen unseres Anonymus an das Bußlied des Niketas und an das Alphabet *Πρὸς φιλόπ. παῖδα*, nicht aber umgekehrt; denn: 1) verhältnismäßig ganz gute Autoren, wie Niketas und der Verfasser des Alphabetes *Πρὸς φιλόπ. παῖδα*, dürften von schlechten, wie der Anonymus unseres minderwertigen Bußliedes erscheint, eher kopiert werden, als umgekehrt; und 2) wenn eine Gnome zugleich in einem Bußliede „An die eigene Seele“ und in einem Gnomengedichte steht, so dürfte sie eher aus dem zweiten ins erstere geraten sein als umgekehrt. Wir haben also das 14. Jahrh. als Frühgrenze für die Abfassungszeit unseres Bußliedes zu betrachten. Die Spätgrenze ist das Datum der Hs, d. i. das 17. Jahrh.

Der Text Nr. I 5 (S. 497 f.) — ein anonymes alphabetisches Bußlied „An die eigene Seele“ in 24 politischen Versen — liegt in zwei Codd. Athoi vor: im Cod. 4608 (B 1)[2]) s. 16/17 fol. 186^b—188^a und im Cod. 3891 (P)[3]) s. 17 fol. 18^b—19^a, die zwei ziemlich verschiedene Fassungen darstellen. In den abweichenden Stellen der Hss ist die ursprüngliche Lesung meist nicht sicher zu erkennen.

---

da die übrigen angeführten Ähnlichkeiten, zumal die auffällige Erwähnung des *ληστής* in den Versen desselben Akrostichisbuchst. (*E*) in beiden Gedichten, sicherlich auf Erinnerung unseres Anonymus an Niketas zurückgehen, stammt wohl auch *B* unseres Gedichtes aus Niketas.

1) Unser Alphabet stimmt stellenweise überein noch:

c) Mit dem *Ὠιδάριον* des Kaisers Leo des Weisen; vgl. unser Alph. *Σ* (V. 51) *Σύνες, ταλαίπωρε ψυχή, . . .* gegenüber *Ὠιδ. Σ Σύνες, ψυχή, μετὰ ταῦτα;*

d) Mit dem oben (S. 481) erwähnten, von Allatius dem Metaphrastes zugeschriebenen, alphabetischen Bußliede „An die eigene Seele“ (ed. Migne, Patr. gr. 114, 133); vgl. unser Alph. *A* (V. 1) *Ἀναλογίζου, ὦ ψυχή, . . .* [und *Ψ* (V. 66) *Ψυχή, ψυχή μου ταπεινή, ψυχή μου παναθλία*] gegenüber Metaphr. *A* (V. 1) *Ἀναλογίζου, ταπεινὴ ψυχή μου παναθλία.*

Allein diese Übereinstimmungen sind nicht derartig, daß sie sich nicht auch anders als durch Annahme der Verwandtschaft zwischen unserem und den zwei zitierten Texten erklären ließen.

2) Zu dieser Signatur vgl. S. 487.

3) Nach der Schlußbemerkung in P soll das Gedicht, bezw. die Hs (*ἐκ τῶν*, zu ergänzen wohl entweder *χειρογράφων* oder *ποιημάτων*) aus dem Kloster des hl. Georg in Galata zu Konstantinopel stammen. Über dieses Kloster vgl. Du Cange, Constantinopolis christiana IV 125 u. 163.

Der unbekannte Verfasser scheint sich an Niketas' Bußlied angelehnt zu haben. Vgl.: Anon. *Λ* (V. 11) *Λοιπὸν ἀνάνηψον, ψυχή* [Variante *Λοιπὸν, ψυχή, ἐπίστρεψον*], *θρήνησον πρὸ τοῦ τέλους* gegenüber Nik. *Λ* (V. 31) *Λοιπὸν ἀνάνηψον, ψυχή, καὶ μέμνησο τοῦ τέλους*; Anon. *Μ* (V. 12) *Μήπως ἐξαίφνης ἐπιστῇ ὁ θάνατος ἁρπάζων* gegenüber Nik. *Γ* (V. 8) *Μήπως ἐξαίφνης ἐπιστῇ καὶ συλήσῃ σε πάλιν*; Anon. *Ὡς ἀγαθὸς ἐλέησον, ὡς ἐλεήμων σῶσον* gegenüber Nik. *Η* (V. 20) *ὡς συμπαθὴς ἀνάστησον, ὡς ἐλεήμων σῶσον.* Die Spätgrenze bildet das Datum der ältesten Hs, d. h. das 16./17. Jahrh.

II.

Drei alphabetische Gebete zu Gunsten der eigenen Seele.

(Bußgebete.)

Wir sahen oben, daß die Bußlieder „An die eigene Seele" gewöhnlich mit einem kleinen Gebet zu Gunsten der Seele schließen. Es sei jetzt hervorgehoben, daß solche Gebete auch als selbständige Stücke vorkommen. Ihre Autoren beten darin zu Gott, ihre Seele der Sünde zu entreißen, ihr süße Bußtränen zu gönnen und sie von den Höllenstrafen zu retten; oder zu Maria, der gnädigen Vermittlerin zwischen Gott und den Sterblichen, in diesem Sinne bei ihrem Sohne zu wirken. Demnach stehen diese Gebete und die oben besprochene Gattung der „Klagelieder an die eigene Seele zwecks ihrer Buße" literarisch sehr nah zueinander.

Von den von mir unten edierten Texten gehören der sechste, siebente und achte hierher.

Der Text Nr. II 6 (S. 498 f.) ist ein alphabetisches Christusgebet in politischen Versen, angeblich von Kaiser Leo dem Weisen. Ich stellte es in sechs Hss fest, und zwar:

Athous 4063 (A 1) s. 16 fol. 136ᵃ—137ᵃ;
Athous 4608 (B 1) s. 16 fol. 185ᵃ—186ᵇ;
Athous 4658 (A 2) s. 18 fol. ?. (nicht paginiert);
Athous 4321 (B 2) s. 18 pag. 441—443;
Athous 4249 (b 2) s. 18. 19 fol. ? (nicht paginiert; enthält bloß die sieben letzten Verse vom Akrostichisbuchst. *Σ* an); und
Athen. 444 (b 3) s. 19 pag. 676—676.[1])

Diese Hss zerfallen — hauptsächlich nach den Varianten im V. 4, 5, 8, 9, 16 (*Χριστὲ* gegen *φωτὶ*), 23 (*σῶτερ* gegen *μέσον*) — in zwei Gruppen.[2]) Die erste Gruppe, obschon in ihrer ältesten Hs jünger als

1) Heuer fand ich es noch im Cod. 921 des Klosters Vatopedi s. 19 fol. 10ᵃ⁻ᵇ.
2) Signatur der ersten A, der zweiten B und b.

die zweite, ist besser als diese. Das zeigt der Vergleich der oben erwähnten Varianten, so: V. 5 und 9 sind in der Version der ersten Gruppe Monosticha, d. i. dem Sinne nach abgeschlossene Einzelverse, in der Version der zweiten Gruppe aber nicht. Da nun das Alphabet, wie es auch in der Randbemerkung des Cod. A 2 ausdrücklich betont wird, monostichisch sein soll, so werden wohl V. 5 und 9 in ihrer monostichischen Form der ersten Gruppe den ursprünglichen Text, in der nichtmonostichischen Form der zweiten Gruppe aber spätere Abweichungen darstellen. Allein, wenn das richtig ist, dann müssen auch V. 4 und 8 in der Version der ersten Gruppe als ursprünglich, und in der Version der zweiten Gruppe als unecht gelten; denn in der zweiten Gruppe hängt V. 4 mit V. 5 und V. 8 mit V. 9 so innig zusammen, daß sie mit ihnen stehen oder fallen. Weiter, da V. 16 mit dem Worte *Χριστὲ* der ersten Gruppe sprachlich richtig, mit dem Worte *φωτὶ* der zweiten Gruppe aber sprachlich unrichtig ist, weil nach *πλήρωσον* nicht ein dat. objecti, sondern ein gen. objecti zu stehen pflegt (vgl. z. B. Pauli epist. ad Eph. 3, 19), so muß wohl auch dieser Vers in der Fassung der ersten Gruppe echt, in der Fassung der zweiten Gruppe von späterer Hand angetastet worden sein. Schließlich verhält sich V. 23 der ersten Gruppe zu V. 23 der zweiten Gruppe ganz klar als eine ursprüngliche zu einer später vulgarisierten Variante. Jedoch ist in der ersten, also der besseren Hssgruppe der jüngere Cod. A 2 der beste; vgl. die offenbaren Änderungen des ursprünglichen Textes im Cod. A 1 in den Versen: V. 4 (*τοὺς ὀφθαλμοὺς*), 12 (*βδελύγξη*), 21 (*τὸν κόσμον*), 23 (*τῶν ἀγκαλῶν σου*). Das bedeutet, daß A 2 nicht direkt aus A 1 stammt. Auch in der zweiten Gruppe scheint B 2 nicht direkt aus B 1 zu stammen; denn B 1 und B 2 haben zwar einige ganz besondere, nur ihnen eigene, oder wenigstens bei ihnen früher als in den übrigen uns erhaltenen Hss vorkommende, gleiche Lesungen gemein, wie V. 13 (*δὲ τὰ κύματα*), 17 (*τῶν κολάσεων*); allein B 2 zeigt auch ganz eigene Varianten, z. B. V. 10 (*πλήθη*), 11 (Wortstellung, *σῶτερ*), 12 (*ἐναγκάλισόν*), 14 (*ἀνακάλεσόν*), 15 (*ῥύστην*), und andererseits er kennt einige Lesarten der ersten Hssgruppe — vgl. V. 6 (*γενοῦ* A 2 B 2), 21 (*τὸν κόσμον* A 1 B 2), 23 (*τῶν ἀγκαλῶν σου* A 1 B 2), so daß er danach wohl nicht direkt auf B 1 zurückgehen kann. Was Cod. b 2 anbelangt, so teilt er zwar in V. 18 einen Schnitzer (*κραταιᾷ*) mit B 2; da wir aber nicht wissen, wie er sich in den ersten 17, in ihm fehlenden Versen zu B 2 verhält, dürfen wir ihn nur auf Grund jenes Schnitzers nicht auf B 2 zurückführen. Endlich weist auch b 3 zwar ganz auffällige Parallelen zu B 2 auf, wie im V. 10 (*πλήθη*), 12 (*ἐναγκάλισόν*), 14 (*ἀνακάλεσόν*), 15 (*ῥύστην*); da er

aber von B 2 zugleich auch mehrmals abweicht, wie im V. 1 (σιγγίνωθί), 11 (τῶν δούλων σου σὺ ὦ), 14 (σου weggelassen), 19 (μου), und sogar eine ältere Lesung kennt, d. i. im V. 17 (τῆς κολάσεως), — so kann auch er schwerlich aus B 2 geflossen sein. Demnach hängen die einzelnen von mir verglichenen Hss in jeder von beiden Gruppen wohl nicht direkt, sondern durch (verloren gegangene?) Mittelglieder zusammen. — A 1 und A 2 geben als Autor unseres Alphabetes den Kaiser Leo den Weisen an, die übrigen Hss überliefern das Alphabet anonym. Da A 1 und A 2, wie gesagt, sich nicht unmittelbar berühren, so stellt ihre Autorangabe eine frühe Überlieferung dar. Ist sie richtig? Leo hat zwar Gebete verfaßt (vgl. Ehrhard bei Krumbacher, Gesch. d. byz. Lit.² S. 168). Allein, da es unwahrscheinlich klingt, daß er, der sonst ein ausgesprochener Anhänger des Archaismus war und in so früher Zeit lebte († 912), im gemeinen und erst später üblich gewordenen politischen Versmaß gedichtet hätte, möchte ihm Krumbacher, wie er mir gütigst mitgeteilt hat, unser Gebet absprechen. Die monostichische Gliederung des Alphabetes weist darauf hin, daß unserem Autor bei der Abfassung des Textes das Muster gewisser paränetischen Alphabete vorgeschwebt hat.

Im Text Nr. II 7 (S. 499 ff.) haben wir ein anonymes alphabetisches Bußgebet an die Mutter Gottes, bestehend aus 24 Disticha im akzentuirenden Elfsilber (Schema ◡◡–◡◡–◡◡–◡◡). Es findet sich in den Codd. Athoi 4321 (B 2) s. 18 pag. 435—440 und 4249 (b 2)[1]) s. 18/19 fol. 7ᵃ—8ᵇ, im letzteren am Anfang verstümmelt. Bisher waren nur zwei Gedichte — gleichfalls Gebete — in diesem Versmaße bekannt[2]): ein Gebet des Romanos (ed. Papadopulos-Kerameus, Ἀνάλεκτα ἱεροσολυμ. σταχυολογίας I 390), und ein anderes, distichisches, in den ersten 24 Disticha die alphabetische Akrostichis, in den übrigen die Akrostichis Ἰωάννου aufweisendes Gebet (ed. Papadopulos-Kerameus, BZ XIV 235), — nach den handschriftlichen Überschriften ein Stück des Johannes Damaskenos[3]), nach dem

1) Vgl. die auf S. 487 angewandte Signatur.

2) So nach Papadopulos-Kerameus BZ XIV a. unten a. O. Jedoch, das Versmaß kommt zum Vorschein auch in den Hymnen des Romanos; vgl. P. Maas, Die Chronologie der Hymnen des Romanos, BZ XV 28.

3) Vgl. die Titel: *Εὐχὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον διὰ στίχων κατὰ ἀλφάβητον· ποίημα τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ* im Cod. Athous 5999 fol. 16ᵃ; *Ἐξομολόγησις μεσανυκτικὴ Ἰωάννου μοναχοῦ εἰς τὴν ὑπεραγίαν θεοτόκον ψαλλομένη τῇ ἁγίᾳ μ΄ κατὰ ἀλφάβητον* (am Rande links: *Πρὸς τό· Ἡ ἀσώματος φύσις*) im Cod. Athous 4063 fol. 134ᵇ; *Εὐχαὶ εἰς τὴν ὑπεραγίαν δέσποιναν θεοτόκον ἰσάριθμοι τῶν τῆς ἑβδομάδος ἡμερῶν, λεγομένη ἑκάστη τούτων τῷ αἰρουμένῳ μετὰ τὸ τέλος ἑκάστου τῶν προγεγραμμένων παρακλητικῶν τῆς θεοτόκου κανόνων:* ∾ *αὕτη δὲ*

Herausgeber eine Nachbildung von diesem Autor des oben erwähnten Gebetes des Romanos. Das Gebet des Damaskenos hat mit unserem anonymen Gebete außer der Distichie und dem Versmaße noch einiges Textliche gemein; vgl.

Anon. *Z* (V. 12) *νεκρωθέντα με πάθεσι ζώωσον*	gegenüber Dam. *N* (V. 25) *Νεκρωθέντα πολλῇ ῥαθυμίᾳ με*
Anon. *H* (V. 13) *Ἡ τὸ φῶς τὸ ἀνέσπερον τέξασα* gegenüber Dam.	*A* (V. 1) *Ἀνεσπέρου φωτὸς ἡ γεννήτρια* *N* (V. 26) *τὴν ζωήν μου ἡ τέξασα ἔγειρον*
Anon. *Π* (V. 32) *τῆς φωνῆς τοῦ ἀχρείου οἰκέτου σου*	gegenüber Dam. *I* (V. 18) *τοῦ οἰκέτου σου, οἴμοι, τὸ πρόσωπον.*

Aber das scheint mir nicht genügend, um das Verhältnis beider Gebete zueinander mit Sicherheit bestimmen zu können. Der inneren Harmonie nach scheint mir unser Gebet etwas höher zu stehen als das des Damaskenos.

Der Text Nr. II 8 (S. 501) ist ebenfalls ein anonymes alphabetisches Bußgebet an die hl. Maria, aber es besteht aus 24 byzantinischen Zwölfsilbern. Die Cäsur befindet sich in den Versen nach der 5. oder 7. Silbe. Die 5. und 11. (vorletzte) Silbe sind betont, die 4., 6., 7., 10., 12. Silbe unbetont, in sämtlichen Versen. Innerhalb kleinerer Versgruppen deckt sich der Rhythmus in allen 12 Silben. Das Gedicht steht in zwei Codd. Athoi: 4321 (B 2)[1]) s. 18 pag. 433—435 und 4249 (b 2)[1]) s. 18/19 fol. 6[a]—7[a]. Der mit dem Akrostichisbuchst. *Θ* beginnende Vers (8) erinnert an den entsprechenden Vers (15) des vorigen Gebetes; vgl. *Θαυμαστὸν παλάτιον τοῦ βασιλέως* gegenüber *Θαυμαστὸν τοῦ δεσπότου παλάτιον.* Außerdem kommt auch der Anfang noch in anderen Gedichten vor, z. B. in zwei alphabetischen Troparen des Nikephoros Kallistos Xanthopulos (Inc. *Ἄχραντε παρθένε, μῆτερ θεοῦ* und *Ἄχραντε παρθένε, κόρη σεμνή*; im Cod. Bodl. miscell. 79 s. 14 fol. 199[a] und 203[b]); in einem alphabetischen Tropar des Johannes *ἱερεύς* (Inc. *Ἄχραντε κόρη Μαρία*). Aber auch hier haben wir es mit Gemeinplätzen der byzantinischen Kirchenpoesie zu tun, so daß wir daraus für den Zusammenhang unseres Gebetes mit den erwähnten Texten nichts schließen dürfen.

ποίημα Ἰωάννου μοναχοῦ· διὰ στίχων κατὰ ἀλφάβητον (am Rande links: *Εὐχὴ α΄ τῇ κυριακῇ*) im Cod. Athous 4658 fol. ? (nicht paginiert).

1) Zur Signatur B 2 und b 2 vgl. oben S. 487.

Athous Laurae St. Athan. B. 43 fol. 65[b]

I 1.

Ἀλφάβητος Νικήτα μητροπολίτου Κλαυδιουπόλεως εἰς τὴν ἑαυτοῦ ψυχήν.

Ἀπόστηθι τῶν πονηρῶν, ψυχή μου, βουλευμάτων
καὶ τῷ σώζοντι πρόσελθε κυβερνήτῃ τῶν ὅλων,
πρὶν ἀφαρπάσας ὁ ἐχθρὸς παραπέμψῃ σε ζόφῳ.
Βέλει τρωθεῖσα πονηροῦ μὴ καταπέσῃς ὅλως,
ἀλλ' ἀναστᾶσα πάταξον προσευχῆς σοῦ ῥομφαίᾳ 5
τὸν τῆς Ἐδέμ σοι κλείσαντα τὰς εἰσόδους Βελίαρ.
Γρήγορον ὄμμα κέκτησο, ψυχή, καὶ μὴ νυστάξῃς,
μήπως ἐξαίφνης ἐπιστῇ καὶ συλήσῃ σε πάλιν
ὁ τῆς κακίας πτερνιστὴς καὶ φθορεὺς τῆς ἁγνείας.
Δεινός μοι κλύδων ἔπεισι καὶ καταιγὶς ταράττει, 10
καὶ τρικυμίαι λογισμῶν πάντοθεν τὴν ψυχήν μου
συνέχουσι, καθέλκουσι πρὸς βυθὸν ἀπωλείας.
Luc. 7,37 sqq. Ἐκ βάθους πέμψον στεναγμοὺς καὶ δάκρυσον ὡς πόρνη,
Luc. 23, 42 ὡς ὁ λῃστὴς τὸ „μνήσθητι" βόησον ἐκ καρδίας,
ὅπως ὁ πλάσας σε θεὸς χεῖρα δοὺς ἀναπλάσῃ. 15
Ζόφωσις ἦλθεν ἐπ' ἐμέ, σκότος ἐκάλυψέ με,
τῶν πονηρῶν ἡ καταιγὶς λογισμῶν ἐκταράττει
καὶ πρὸς ἀτόπους συνωθεῖ καταιγίδας πνευμάτων.
Ἦρα πρὸς σὲ τὸν εὔσπλαγχνον τὸ ὄμμα τῆς καρδίας·
ὡς συμπαθὴς ἀνάστησον, ὡς ἐλεήμων σῶσον, 20
πλάσμα σόν εἰμι, πλαστουργέ, πλάσας ἀνάπλασόν με.
Θυμοῦ τὴν ῥύμην ἔκκοψον, τούτῳ γὰρ ἀναπλάσεις,
καὶ τῆς κακίας τὴν ἀχλύν, ἣν ἡδονὴ παρέσχε,
ἀνάστειλον καὶ σκέδασον φῶς ἐπιλάμψας, Λόγε.
Ἱλάσθητί μοι, δέσποτα, καὶ μὴ ἀντιπαρίδῃς, 25
μηδὲ ἐάσῃς με ταῖς πρὶν πλανᾶσθαι παροδίαις, ‖
fol. 66[a] ἔχεις γὰρ ἄπειρον ἰσχύν, ἔχεις πηγὰς ἐλέους.
Κριτὰ τῶν ὅλων, κύριε, κρινόμενόν με τότε
πρόστηθι, ῥῦσαι τοῦ πυρὸς, σκώληκος καὶ ταρτάρου,
ἅπερ ἡτοίμασας, Χριστέ, τοῖς ἔργα σχοῦσι σκότους. 30
Λοιπὸν ἀνάνηψον, ψυχή, καὶ μέμνησο τοῦ τέλους
καὶ στεναγμοὺς ἀνάπεμψον ἐκ βάθους τῆς καρδίας,
ἵνα τὸ σκότος καὶ τὸ πῦρ ἐκφύγῃς τῆς γεέννης.
Μοναὶ πολλαὶ τῆς δόξης σου, ἀλλὰ καὶ τιμωρίαι·
βλέψον ἱλέῳ ὄμματι, κάμφθητι δάκρυσί μου, 35
καὶ μὴ κατάκριτον εἰς γῆν ἀποπέμψῃς, σωτήρ μου.

Codicum variae lectiones. ἀρχὴν ἁπάντων sinistro in margine secunda manu ‖ 21 εἰ μὴ ‖ 30 σχούσης ‖ 34 καίτοι μωρίαι

Νῦν ὁ δεινὸς ἐπέστη μοι τῆς ἁμαρτίας κλύδων,
λαίλαπες ἄφνω συνεχεῖς βυθίζουσι τὸ σκάφος,
ἡ τῶν κυμάτων καταιγὶς σπεύδει καταποντίσαι.
Ξενώσας ἐμαυτὸν, Χριστὲ, τῆς ἄνω κληρουχίας 40
ἀπεγυμνώθην τῆς λαμπρᾶς ἐσθῆτος, ἥνπερ πρώην
ἐνέδυσας ὁ πλαστουργὸς καὶ κατεκόσμησάς με.
Ὁρῶν τὰ κολαστήρια καὶ τὰς μενούσας δίκας
φρίττω, μήπως ῥιφήσωμαι τόπῳ τῶν καταδίκων
καὶ τοῦ ἀγρίου σκώληκος βρῶμα γένωμαι τότε. 45
Πρὸ δίκης φεῖσαι, δέσποτα, καὶ μὴ καταδικάσῃς·
ἄνοιξον θύραν, πρόφθασον, πρὶν καλύψῃ με σκότος
καὶ παρανάλωμα πυρὸς γένωμαι τοῦ ἀσβέστου.
Ῥαθύμως δαπανήσαντα τὸν ἅπαντά μου βίον
ἀπεγυμνώθην συληθεὶς νοὸς παραφροσύνῃ 50
καὶ δοῦλος γέγονα παθῶν πηρωθεὶς τὰς αἰσθήσεις.
Σῆς χρηστότητος ἄβυσσον καὶ μοῖράν μοι ἐλέους
ἄνοιξον, ὅπως ἴδω σοῦ τὰ τῶν κριμάτων βάθη
καὶ διοπτεύσας ἐπιγνῶ καθαρῶς τὴν αὐγήν σου.
Τρέμω, Χριστὲ, τὴν ἀπαλὴν καὶ τὴν ἔνδικον κρίσιν, 55
ὅταν καθίσῃς φοβερῶς κρίνων μοῦ τὰ πρακτέα,
καὶ τῶν σφαλμάτων τῶν ἐμῶν ἡ πληθὺς καθορᾶται.
Ὕπνῳ βαθεῖ συνέχομαι ῥαθυμίας ὁ τάλας·
ξίφη θήσουσι κατ' ἐμοῦ οἱ τοῦ σκότους προστάται·
τάχυνον, οἴκτειρον, Χριστέ, ῥῦσαί με τῶν μωλώπων. 60
Φεῖσαί μου τότε, κύριε, φεῖσαι τοῦ πλάσματός σου,
ὅλον ἐν σκότει κείμενον φώτισον, λάμπρυνόν με ‖
fol. 66b καὶ τῶν τραυμάτων ἄμοιρον δεῖξόν με τῶν δαιμόνων.
Χρηστότητος τὴν ἄβυσσον ὡς κεκτημένος, Λόγε,
Mat. 15, 22 sqq. μὴ παρίδῃς δεόμενον, ἀλλ' ὡς τὴν Χαναναίαν 65
οἰκτείρησον προσπίπτοντα εὐμενῶς ἐπιβλέψας.
Ψυχή μου, στέναξον λοιπὸν καὶ δάκρυσον συντόμως
τῶν πεπραγμένων τὴν πληθὺν πλύνουσα καθ' ἡμέραν,
εὔθετον ἔχουσα καιρὸν νῦν τὸν τοῦ μεταγνῶναι.
Ὦ βάθος ἀκατάληπτον τοῦ ἐλέους, Χριστέ μου, 70
ὦ πέλαγος ἀμέτρητον, ὄμβρισόν μοι σταγόνα
ἐλέους σοι προσάγοντι πρέσβιν τὴν σὴν μητέρα.

41 ἥσπερ ‖ 58 τάλ.

Vatic. Palat. gr. 367

I 2.

fol. 135[b] *Ἕτεροι στίχοι κατ' ἀλφάβητον περὶ τοῦ ματαίου βίου τούτου· ποίημα τοῦ μοναχοῦ Μακαρίου τοῦ Καλορείτου.*

Ἀπὸ ψυχῆς στενάξωμεν, κλαύσωμεν ἐκ καρδίας
τὸ τέλος ἐνθυμούμενοι, τὰς πράξεις μεμνημένοι.
Βίον γὰρ ὅλον τὸν ἐμὸν ἠχρείωσα ὁ τάλας
πράξει καὶ λόγῳ καὶ αἰσχραῖς ἐνθυμίαις καθ' ὥραν.
Γυμνὸς ἐκ πάντων ἀγαθῶν διάγω ῥαθυμίᾳ 5
καὶ πᾶσαν πρᾶξιν ἀγαθὴν ἀπ' ἐμαυτοῦ ἀπείργω.
Διὸ καὶ πάντοτε θρηνῶ, τὸ τέλος μεμνημένος·
οἴμοι, τίς γένωμαι λοιπόν, πῶς ὑποίσω, πῶς φέρω
Ἐκείνας δὴ τὰς σκοτεινάς, ζεζοφωμένας ὄψεις,
αἷς καὶ μέλλω παραδοθεῖν ὁ ἄθλιος δικαίως; 10
Ζωὴν γὰρ πᾶσαν ἀμελῶς ἐν ματαίοις ἀνύσας
ζωὴν τὴν ἄνω καὶ τὸ φῶς ἐστερήθην ἀθλίως,
Ἣν ἑκὼν ὁ παμβέβηλος ἀφρόνως ὑστερήθην,
ἣν δὴ καὶ προσαπώλεσα δι' ἡδονῶν τοῦ βίου.
Θεοῦ ἀφρόνως μακρυνθεὶς ἐξ ἔργων τῶν κακῶν μου 15
αὐτοῦ λοιπὸν τὴν ἀπειλὴν φρίττω καὶ τὰς κολάσεις.
Ἰδοὺ γὰρ πᾶσά μου ζωὴ ὡς χόρτος ἐμαράνθη
καὶ ὡς ἄνθος ἐξέπεσε, φεῦ μοι τῷ παναθλίῳ.
Κριτὴν καὶ γὰρ τὸν φοβερὸν πῶς ἀτενίσαι μέλλω,
πῶς δὲ καὶ γλώσσῃ ῥυπαρᾷ ἀπολογίας τίσω; 20
Λόγος οὐδείς μοι πάρεστιν, οὐκ ἔστι παρρησία,
ἀλλ' αἰσχύνη καὶ ὄνειδος ἀγγέλων καὶ ἀνθρώπων. ‖

fol. 136[a] *Μηδείς σε οὖν ἐξαπατᾷ, ἐλεεινὴ ψυχή μου,*
ἐκεῖ οὐκ ἔστιν ἔλεος, οὐκ ἔστι σοι συγγνώμη.
Νῦν ὧδε ἀγωνίσθητι, νῦν σπούδασον ἐμπόνως, 25
ὅτι ἐνταῦθα ὁ ἀγών, ἐκεῖ ἡ ἀντιμισθία.
Ξηραίνονται καὶ τήκονται πάντες ἐκεῖ, ὡς ἔφυν,
οἱ μήπω εἰς μετάνοιαν ἐλθόντες ἀπ' ἐντεῦθεν.
Οἱ γὰρ τὸν βίον ἀμελῶς ζήσαντες σὺ καθώσπερ
ἀπότομον καὶ τὸν κριτὴν εὑρίσκουσιν ἐκεῖσε, 30
Πυρὶ καταδικάζονται λοιπὸν τῷ αἰωνίῳ
καὶ σκότει βαθυτάτῳ τε ἐκδίδονται ἀθλίως.
Ῥῦσαι οὖν, δέσποτα θεέ, ῥῦσαί με τὸν σὸν δοῦλον
τῶν τοιούτων κολάσεων κατὰ χάριν ὡς πλάστης·

---

4 ἐνθυμήσεις ‖ 9 ὄψη ‖ 10 ἃς | παραδοθεῖν] ich vermute παραδοθῆν (vgl. Chatzidakis, *Μεσ. καὶ Νέα Ἑλλ. α'* 585 ἐπ.) oder, wegen des gelehrten Sprachcharakters, geradezu παραδοθῆν'. Anm. d. Redaktion. ‖ 23 σοι (pro σε) ‖ 33 τῷ σῷ δούλῳ

Σὺ καὶ γάρ με διέπλασας, σύ με ὡς εὐεργέτης 35
ἐκ μὴ ὄντος παρήγαγες εἰς τὸ εἶναι, Χριστέ μου.
Τὸ σὸν οὖν πλάσμα, δέσποτα, μὴ παρεισίδης πάντη,
μήτε κολάσει ἔκδοτον γενέσθαι με προστάξης·
Ὕστατος καὶ γὰρ πέφυκα καὶ ἄγνωστος τῶν πάντων
καὶ πᾶσαν δὲ μοῦ τὴν ζωὴν ἀπώλεσα ἀλόγως. 40
Φόβῳ καὶ τρόμῳ, βασιλεῦ, προσέρχομαι σῷ κράτει,
σὲ ἐξαιτοῦμαι, ἀγαθὲ, τὴν λύσιν τῶν κακῶν μοῦ.
Χρηστὸς καὶ γὰρ ὡς πέφυκας, εὔσπλαγχνος συμπαθής τε,
μὴ τῷ θυμῷ σου, κύριε, ἐλέγξης με τὸν τάλαν.
Ψυχὴν γάρ μου εἰς χεῖρας σου ἀξίωσον ἐκθέσθαι, 45
καὶ ταύτην τῷ ἐλέει σου ἵλεον ὄμμα δεῖξον.
Ὡς ἀγαθὸς, πανάγαθε, ὡς πλάστης καὶ θεός μου
ἐλέησον, οἰκτείρησον, ἀντιλαβοῦ καὶ σῶσον.

35 μοι (pro με) ‖ 36 τὸν (pro τὸ) ‖ 37 πάντηξ ‖ 40 ἀπέλησα ‖ 44 τῷ τάλα ‖ 48 ἀντίλα^ου

Athen. 1197
s.16 sub finem.

I 3.

Ἕτερον μέλος κατὰ στοιχεῖον τοῦ σοφωτάτου Κυριακοῦ τοῦ μαγίστρου.

Ἀπὸ χειλέων ῥήματα, ἀπὸ ψυχῆς μου θρήνους
ἐκπέμπω, ἀποδύρομαι ψυχῆς αἰχμαλωσίαν.
Βολὶς ὀμμάτων ἤγειρε βολίδας τοξευμάτων
τῶν ἐμπαθῶν, καὶ τέτρωμαι· δὸς χεῖρα, σῶτερ· θνήσκω.
Γῆν ἄψυχον εἰς ἔλεγχον ἔχω μοῦ τῆς κακίας· 5
ποσὶ γὰρ ταύτην ὥδευσα τρέχουσιν εἰς κακίαν.
Δολίοις δολεάσμασι χαυνωθεὶς μισθὸν βίου
τοῦ πλημμελοῦς ἐκέρδησα τὸ τρέμειν τομὴν βίου.
Ἔρις μοι φύσις γέγονε, τὸ ἔθος ὥσπερ χρέος
καταναγκάζει πράττειν με, ἃ τὸ μὴ πράττειν κέρδος. 10
Ζητῶ τίς ἡ χρηστότης σου, τίς ἡ μακροθυμία,
ὅτι καὶ παροργίζοντας θάλπεις ὡς κατορθοῦντας.
Ἡδὺ τὸ ζῆν τοῖς ἅπασιν, ἐμὲ τὸ συνειδὸς δὲ
καὶ τῶν μελλόντων ἔννοια πείθει μὴ ζῆν ἡδέως.
Θυμὸν ἀσπίδος ὥπλισα θρασέως τῷ πλησίον, 15
καὶ τίς ἐλπὶς μὴ γεύσασθαι πικρίαν τοῦ θυμοῦ σου; ‖
pag. x+1 Ἰταμῶς ἁμαρτάνοντι πῶς ἀγενῶς προσβλέψει
ἄγγελος ὁ φυλάσσων σε, καὶ μὴ νυστάξης λύπῃ;
Κόρος ἐστὶ καὶ λέγεται χρηστῶν καὶ τῶν αἰσχίστων,
ἐμοὶ δὲ πρὸς τὰ χείρονα κόρος οὐδεὶς οὐχ ὅρος. 20
Λύσιν κακῶν ἀπήλπισα, πλὴν τρέφει με σὸς λόγος,
ὃς δικαοῖ τὸν φθάνοντα τὰς πράξεις ἐξαγγέλλων.

5 ἔλεχον ἔχων ‖ 10 καταναγκάζειν ‖ 12 παρωργίζοντι ‖ 15 θρασίως τὸ

Μνήμη θανάτου τρύχει με, καὶ τοῦ θανάτου πλέον
λυπεῖ τὰ μετὰ θάνατον, βῆμα καὶ πῦρ καὶ ζόφος.
Νίκην ἐφιλονίκησα νικῆσαι τὴν κακίαν, 25
κατὰ ψυχῆς γὰρ ὥπλισα σαρκὸς ἡδυπαθείας.
Ξενίζει σοῦ τὰ πράγματα καὶ φύσιν ὑπερβαίνει·
ἐμὲ δ' εἰ σώσῃς, εὔσπλαγχνε, πᾶν ἔργον σου καλύψεις.
Οὐκ ἦλθες, ἔφης, δέσποτα, τοῦ κρίνειν, ἀλλὰ σώζειν·
ᾧ δὴ καὶ μόνῳ θάλπομαι τοῖς ἔργοις ἀπελπίσας. 30
Πλοῦτον κακῶν συνέλεξα πλοῦτον καλῶν σκορπίσας,
οὐκ οἴκους ἀπεκέρδησα χείρους τοῦ κεφαλαίου; ‖
pag. x + 2 Ῥήμασι μεταβάλλομαι καὶ πράξεσι ῥυποῦμαι·
τίς ὄνησις τὰ ῥήματα κρατεῖν τὰ τῶν πραγμάτων;
Στήλη κακῶν, ὑπόδειγμα κεῖμαι τῆς πονηρίας· 35
σκότος καὶ πῦρ ἐκδέχομαι μισθοὺς τῆς ἐργασίας.
Τί σοι προσοίσω ἄξιον ἀντὶ μελλόντων, Λόγε;
τί σοι δώσω ἀντάλλαγμα, ῥύπος ὑπάρχων ὅλος;
Ὑπέθαλπέ τις λογισμός, ὡς οὐκ ἐσφάλην μόνος·
ἀλλ' ἤλεγχε τὸ συνειδὸς, ὅτι τοσαῦτα μόνος. 40
Φλόγες φλόγας μοι τρέφουσιν, αἳ σαρκὸς τῆς γεέννης
. . . .
Χρονίσας γὰρ τοῖς πάθ⟨εσιν⟩ δυσαποσπάστως ἔχω·
Daniel 3, 19 sqq. ἄμφω μοι, σῶτερ, κοίμισον, ὁ παισὶ πῦρ κοιμίσας.
Ψ . . . .
. . . .
Ὡς ἔμπρακτον μετάνοιαν λόγους μου, Λόγε, δέχου
καὶ δίδου μοι τὰ σώζοντα πράττειν, ἀλλὰ μὴ λέγειν· 45
πλὴν καὶ δαψιλευθήτω μοι καιρὸς τῆς μετανοίας!

28 δυσώδεις ‖ 32 οὐχ

Athous 4837

I 4.

fol. 2^b Ἕτερος ἀλφάβητος τοῦ μεγάλου Ἀθανασίου ὠφέλιμος καὶ κατανυκτικὸς πάνυ. ‖

fol. 3^a Ἀναλογίζου, ὦ ψυχή, τὰ πρίν σοι πεπραγμένα
καὶ τὸν θεὸν ἐκδυσωπῶν μὴ παύσῃ καθ' ἡμέραν,
ὅπως σοι δῷ συγχώρησιν τῶν πεπλημμελημένων.
Βέλει τρωθεῖσα τοῦ ἐχθροῦ, ψυχή μου, ἐθανατώθης
καὶ πρὸς φθορὰν κατήντησας ἀφρόνως γεγονυῖα, 5
καὶ τίς λοιπὸν μὴ κλαύσῃ σε, τὴν τεθανατωμένην;

3 πεπλημμένων

Γέεννα, σκότος, τάρταρος, βρυγμὸς ὁ τῶν ὀδόντων
μέλλουσιν ὑποδέχεσθαι, ψυχή, μετὰ τὸ τέλος,
εἴπερ ἀμετανόητος ἀπέλθῃς τῶν ἐνταῦθα.

fol. 3[b] Δάκρυσον, ⟨ψυχή,⟩ στέναξον, θρήνησον πρὸ ‖ τοῦ τέλους· 10
πληθὺν ἁμαρτημάτων γὰρ ἀμέτρων ἐξαλείφειν
τὰ δάκρυα πεφύκασι, οἱ στεναγμοὶ καὶ θρῆνοι.

Luc. 23, 42 Ἔσχε λῃστὴς παράδεισον τὸ „μνήσθητι" βοήσας,
εὕροις δ' αὐτὴ τὴν ἄφεσιν τῶν πεπλημμελημένων
„ἡμάρτηκά σοι, δέσποτα, συγχώρησον" εἰποῦσα. 15

Ζητεῖ σοῦ τὴν προαίρεσιν ὁ ἀγαθὸς δεσπότης·
τί ῥαθυμεῖς, παντάλαινα; καὶ γὰρ ἂν ἐπιστρέψῃς,
εὐθύς σοι τὴν συγχώρησιν ὁ ἀγαθὸς παράσχοι.

Ἠθέτησας τὰς ἐντολάς, ἠνόμησας, ἀθλία,
παρώργισας τὸν κτίστην σου ταῖς ἀθεσμοπραγίαις· ‖ 20
fol. 4[a] σπεῦσον λοιπὸν διαλλάγηθι τούτου πρὸ τοῦ θανάτου.

„Θεέ, θεέ μου, πλαστουργέ, μακρόθυμε θεέ μου,
μὴ παρίδῃς ⟨με⟩", βόησον, „τὴν παροργίσασάν σε",
καὶ πάντως ἐπακούσει σου, τῆς βεβορβορωμένης.

Ἰούδας ἄλλος γέγονας, ψυχή, τῇ προαιρέσει 25
Mat. 27, 5 σαυτὴν ἀπαγχονίσασα, βαβαί, τῇ ἀπογνώσει,
καὶ τί σοι κέρδος, ταπεινή, τῆς ὑστεροβουλίας;

Κριτής ἐστιν ἀσυμπαθὴς ὁ πλάστης σου, ψυχή μου·
καὶ τὰ καλὰ καὶ τὰ κακὰ προστίθησιν εἰς μέσον·
σπεῦσον ἐξιλεώσασθαι τούτῳ τῇ μετανοίᾳ. 30

Λύσιν λαβεῖν σοῦ τῶν χρεῶν, ψυχή, πρὸ τῆς ἐξόδου ‖
fol. 4[b] σπούδασον· ὁ γὰρ θάνατος μετάμελον οὐκ ἔχει,
κἂν ὁ κριτὴς μακρόθυμος καὶ συμπαθὴς τυγχάνῃ.

Mat. 25, 1 sqq. Μωρὰς παρθένους ἤκουσας, ὡς ἔξω τοῦ νυμφῶνος
ἔμεινον, κρούουσαι πικρῶς τὴν εἴσοδον οὐχ εὗρον; 35
μὴ οὖν θελήσῃς, ταπεινή, ταύταις ὁμοιωθῆναι.

Ναόν, ψυχή μου, ποίησον σαυτὴν ἡγιασμένον,
καὶ σοῦ τοῦ κάλλους ἐραστὴς ὁ κτίστης καὶ δεσπότης
καταφιλήσει σε θερμῶς καὶ κατοικήσει πάντως.

Ξύλου γευσάμενος Ἀδὰμ ἐξώσθη παραδείσου· 40
ξένωσον οὖν σαυτήν, ⟨ψυχή,⟩ ἐκ πάσης ἁμαρτίας
καὶ λάβοις τὸν παράδεισον, ψυχή, πρὸς κατοικίαν. ‖

fol. 5[a] Ὁ βίος οὗτος πρόσκαιρος, ὁ κόσμος παρατρέχει,
σὺ δέ, ψυχή, ἀθάνατος· καὶ τί λοιπὸν οὐ τρέχεις
πρὸς ἀφθαρσίαν ἀπελθεῖν, ἀλλ' ἀγαπᾷς τὰ κάτω; 45

7 ὀδότων ‖ 10 ψυχή om. ‖ 14 πεπλημμένων ‖ 15 συγχώρησιν ‖ 23 με om. τὸν παροργίσαντά σε ‖ 36 ταύτας ‖ 39 σοι (pro σε) ‖ 41 ψυχή om.

Πεπωρωμένη μου ψυχή, πῶς ἐπωρώθης, λέγε;
πάντως διὰ τί τὸν θεὸν πρὸ ὀφθαλμῶν οὐκ ἔχεις;
εἰ γὰρ ἠγάπας καθαρῶς, ἐθρήνεις καθ' ἡμέραν.
„Ῥῦσαι, Χριστέ, τῆς φοβερᾶς κολάσεώς με ῥῦσαι"
περιπαθῶς πρὸς τὸν θεὸν εἰπέ, ψυχὴ ἀθλία, 50
καὶ ταύτης ἀπαλλάξει σε, φιλάγαθος τυγχάνων.
Σύνες, ταλαίπωρε ψυχή, θεοῦ μακροθυμίαν,
καὶ πῶς σοῦ τὴν μετάνοιαν ἐκδέχεται γνησίως
καὶ οὐ θέλει προαρπάσαι σε μὴ μετακελευσθεῖσαν. ‖
fol. 5ᵇ *Τὸ κάλλος προαπεμαύρωσας, ψυχή μου, τὸ ὡραῖον* 55
καὶ σκοτεινόμορφον αὐτὴν εἰργάσω κακοφρόνως·
ἔργα γὰρ σκότους ἔπραξας καὶ δυσειδὴς ὑπάρχεις.
Ὑπῆρξας δούλη τοῦ σατάν, ψυχή, ἐξ ἀφροσύνης·
παραδοθεῖσα τῇ φθορᾷ διὰ φιληδονίαν
ὑπόδικος οὖν γέγονας πυρὶ τῷ αἰωνίῳ. 60
Φρικτὸν τὸ λογοθέσιον, ψυχή, τὸ τοῦ θανάτου·
οὐκ ἔχει γὰρ συνήγορον ἄλλον εἰ μὴ τὰς πράξεις·
ἂν γοῦν τηρήσῃς σεαυτήν, οὐ φοβηθήσει τοῦτο.
„Χριστέ μου, Λόγε", βόησον ἐν ὥρᾳ τοῦ θανάτου,
fol. 6ᵃ *„μὴ παρίδῃς δέ, φεῖσαί ⟨με⟩ ‖ τὴν κατηχρειωμένην,* 65
ἀλλ' ὥσπερ εὐσυμπάθητος σῶσόν με παρ' ἐλπίδα".
Ψυχή, ψυχή μου ταπεινή, ψυχή μου παναθλία,
ψυχὴ πολυαμάρτητε, τί οὐ θρηνεῖς πρὸ τέλους
ψυχρὸν εἶναι γινώσκουσα τὸν μετὰ τέλος θρῆνον;
Ὢ τί πικρὸς ὁ θάνατος τοῖς μὴ μετανοοῦσι! 70
λοιπὸν ἐπίστρεψον ὀψέ, ψυχή, πρὸς τὸ συμφέρον
ὑπογραμμὸν τὸν σύλλογον ἔχουσα τῶν δικαίων.

47 *διότις* (pro *διὰ τί*) ‖ 51 *σοι* (pro *σε*) ‖ 54 *σοι* (pro *σε*) ‖ 65 *φησι. με* om. ‖ 69 *τὸ μ. τέλους θρῆνος*

Athous 4608 (B 1)

I 5.

fol. 186ᵇ

Ἕτερος ἀλφάβητος.

Ἀθάνατον κριτήριον, κριτὴς δικαιοκρίτης,
Βῆμα φρικτὸν καὶ φοβερὸν ἡμᾶς, ψυχή, ἀναμένει.
Γυμνοὶ πάντες οἱ γηγενεῖς καὶ τετραχηλισμένοι,
Δικαίως εὐθυνούμενοι, μέλλομεν παραστῆναι.
Ἐκεῖ οὐκ ἄρχει πλούσιος, οὐ βασιλεὺς ἰσχύει· 5
fol. 187ᵃ *Ζυγοστατοῦνται πράξεις γὰρ δικαίων καὶ ἀδίκων.*

Tit.: *Εἰς τὴν δευτέραν παρουσίαν· στίχοι εἰς τὸν δικαιότατον κριτὴν κατὰ* ⟨*αβ'*⟩ P ‖ 1 *Ἀδέκαστον κρ.* P ‖ 2 *ἡμῖν, ψυχή μου, μένει* P ‖ 3 *Γυμν. γὰρ π. γηγ.* P ‖ 5 *ἄρχων* B 1 ‖ 6 *δὲ* (pro *γὰρ*) P

Ἡμέρα οἵα φοβερά, ἡμέρα οἵα φρίκης
Θεοῦ ἐν γῇ δικάζοντος ὤφθη τοῖς ὑπευθύνοις!
Ἵστανται γὰρ κατήγοροι ἐλέγχοντες τὰς πράξεις
Καὶ ἐξετάζοντες κρυπτά· ὢ ποῖος φόβος τότε! 10
Λοιπὸν ἀνάνηψον, ψυχή, θρήνησον πρὸ τοῦ τέλους,
Μήπως ἐξαίφνης ἐπιστῇ ὁ θάνατος ἁρπάζων.
Νεκρὸς ἐν τάφῳ κείμενος μετάνοιαν οὐκ ἔχει·
fol. 187b Ξηραίνονται τὰ δάκρυα, ἄλαλος ‖ γλῶσσα μένει.
Οὐκ ἔστιν, ὥσπερ γέγραπται, μετάνοια ἐν ᾅδη· 15
Πῶς γὰρ ὁ χοῦς ὑμνήσειεν, ἀφ' οὗ καλύψῃ λίθος;
Ῥείεται καὶ παρέρχεται ὡς χόρτος πᾶσα φύσις·
Σκιά ἐστιν, ἐνύπνιον ὁ κόσμος πλάνος οὗτος.
Τί, ταπεινή, τοῖς γεηροῖς λοιπὸν ἐγκαταμένεις;
Ὑπτίαις δέχεται χερσίν, ἐπίστρεψον, ὁ πλάστης. 20
Φιλάνθρωπε, μακρόθυμε, κύριε τοῦ ἐλέους,
fol. 188a Χρηστὸς ὢν φύσει, συμπαθής, ‖ ἐν ἐμοὶ τοῦτο δεῖξον.
Ψυχὴν ἀμετανόητον, εἰς βάθος ὀλισθεῖσαν
Ὡς ἀγαθὸς ἐλέησον, ὡς ἐλεήμων σῶσον.

7 ἡμ. πλήρη (sic) φρ. P ‖ 8 Θεὸς ἐν γῇ κολάζοντος B 1 ‖ 11 Λοιπῶν, ψυχή, ἐπίστρεψον, θρ ... B 1 ‖ 12 ἐπεστῇ. αἰτάζων (pro ἁρπ.) P ‖ 13 Νεκρ. δ' ἐν ... P ‖ 16 τάφος (pro λίθ.) P ‖ 18 Σκ. γὰρ καὶ ἐνύπν. ὁ πλ. κόσμ. οὗτ. P ‖ 19 γηραιοῖς P ‖ 22 Χριστὸς ὁ φύσ., συμπ., οἰκτείρησον, οἰκτίρμων B 1 ‖ 23 ψυχῆς μου τὰ ἐγκλήματα θεράπευσον ἐν τάχει P ‖ Inter 23—24 Ἐκ τῶν τοῦ ἁγίου Γεωργίου τοῦ ἐν τῷ Γαλατᾷ ἄνννωθεν (sic) τῆς δευτέρας παρουσίας ͵αχλη' <= 1638> ἐν Ἱλημ <= Ἱερουσαλὴμ> μαρτίῳ β' interm. P ‖ 24 Ὡς ἀγ. καὶ εὔσπλαγχνος φῆσαι (sic) μου τότε, σῶτερ P.

Athous 4658 (A 2) non pagin.

II 6.

Εὐχὴ ἑτέρα ἱκετήριος εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν· διὰ στίχων· κατ' ἀλφάβητον· Λέοντος δεσπότου.

Ἀνείκαστε, μακρόθυμε, Χριστέ μου, σύγγνωθί μοι.
Βάρος πολὺ περίκειμαι, κούφισον τοῦτο, σῶτερ.
Γλυκύτατέ μου δέσποτα, γλύκανον τὴν ψυχήν μου.
Δακρύων ὄμβρους, Ἰησοῦ, τοῖς ὀφθαλμοῖς μου δίδου.
Ἔκπλυνον, ἀποκάθαρον, Χριστέ μου, τὴν ψυχήν μου. 5
Ζωὴ ὑπάρχων, ἀγαθέ, ζωῆς δωτήρ μοι γίνου.

Ὡραία τε καὶ ἔντεχνος ἡ εὐχὴ αὕτη πέλει | ὡς τελειοῦσα νόημα ἑκάστῳ στίχων φίλος (φίλως?) dextro in margine eadem manu A 2 ‖ Tit.: Εὐχὴ κατ' ἀλφαβίτου Λέοντος δεσπότου A 1: Εὐχὴ κατανυκτικὴ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν κατὰ ἀλφάβητον B 2: Στίχοι κατὰ ἀλφάβητος B 1 ‖ 1 μου om. A 2 B 1 B 2 b 3. σιγγίνωθί b 3 ‖ 4 τοὺς ὀφθαλμοὺς A 1. Δρόσισον τὴν καρδίαν μου δρόσῳ τῆς εὐφροσύνης B 1 B 2 b 3 ‖ 5 Εὔσπλαγχνε, παντοδύναμε, γλυκύτατε Χριστέ μου B 1 B 2 b 3 ‖ 6 ὑπάρχης, μου B 1. γενοῦ A 2 B 2

Ἡ πάντων ἀγαλλίασις, γλυκύ μοι πένθος δίδου.
Θεὲ θεῶν καὶ κύριε κυρίων οἴκτειρόν με.
Ἱλάσθητί μοι, δέσποτα, τῷ παροργίσαντί σε.
Κούφισον, ἀναμάρτητε, τὰ βάρη τῶν κακῶν μου. 10
Λιμὴν γενοῦ σωτήριος τῷ δούλῳ σου, Χριστέ μου.
Μή με βδελύξῃ τὸν φευκτόν, ἀλλ' ἐναγκάλισαί με.
Νέκρωσον τὰ κινήματα σαρκός μου τῆς ἀθλίας.
Ξένος σου γέγονα, σωτήρ, ἀλλ' ἀνακάλεσαί με.
Οὐκ ἔχω πλὴν σοῦ βοηθὸν οὐδὲ προστάτην ἄλλον. 15
Πλήρωσον τὴν καρδίαν μου, Χριστὲ, τοῦ παρακλήτου.
Ῥῦσαί με τῆς κολάσεως, ῥῦσαί με τῆς γεέννης.
Σὺ μοῦ κυβέρνα τὴν ζωὴν τῇ κραταιᾷ χειρί σου.
Τῷ βέλει τῆς ἀγάπης σου τρῶσον μοῦ τὴν καρδίαν.
Ὑπάναψον τοῦ πόθου σου τὸ πῦρ εἰς τὴν ψυχήν μου. 20
Φωτὶ τῶν προσταγμάτων σου τὸν νοῦν μου φωταγώγει.
Χαρίτωσόν με, δέσποτα, πρεσβείαις τῆς μητρός σου.
Ψυχὴν ἐμὴν συντήρησον, σῶτερ, ταῖς σαῖς ἀγκάλαις.
Ὦ θελητὰ τῶν οἰκτειρμῶν, πλήρου μοῦ τὰς αἰτήσεις.

---

7 *μου* B 1 ‖ 8 *Θέλησον, εὐδιάλλακτε, καὶ σῶσόν με ὡς οἶδας* B 1 B 2 b 3 ‖ 9 *Ἵνα ἀεὶ δοξολογῶ πλῆθος σῆς εὐσπλαγχνίας* B 1 B 2 b 3 ‖ 10 *πλήθη* (pro *βάρη*) B 2 b 3 ‖ 11 *Λ. γ. τῷ δ. σου σωτήριος, Χρ. μου* B 1: *Λ. γ. τῷ δούλῳ σου, σῶτερ Χριστέ μου* B 2: *Λ. γ. τῶν δούλων σου, σὺ ὢ σῶτερ Χριστέ μου* b 3 ‖ 12 *βδελύγξῃ* A 1: *βδελύξις -ῃς* B 1 b 3. *ἐναγκάλεσαί* B 1: *ἐναγκάλισόν* B 2 b 3 ‖ 13 *Ν. δὲ τὰ κύματα* B 1 B 2 b 3 ‖ 14 *σου* om. b 3. *ἀνακάλεσόν* B 2 b 3 ‖ 15 *ῥύστην* (pro *πρ.*) B 2 b 3 ‖ 16 *φωτὶ* (pro *Χρ.*) B 1 B 2 b 3 ‖ 17 *τῶν κολάσεων* B 1 B 2 ‖ 18 *κυβέρνησον* attamen desuper purpura recte *κυβέρνα* B 1. *κραταίᾳ* B 2 b 2 ‖ 19 *μου* (pro *σου*) b 3 ‖ 20 *τὸν πόθον* B 1 ‖ 21 *τὸν κόσμον* (pro *τ. ν. μ.*) A 1 B 2 b 2 b 3 ‖ 23 *μέσον* B 1 B 2 b 2 b 3 (*μέσων* B 1). *τῶν ἀγκαλῶν σου* A 1 B 2 b 2 b 3: *ἀγκαλώσον* B 1 ‖ 24 *Ὦ θετὰ τ. οἰκ., δέξαι μου τ. αἰτ.* B 1 ‖ *Τέλος τῆς κατὰ ἀλφαβήτου κατανυκτικῆς εὐχῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ* B 2.

Athous 4321 (B 2)

II 7.

pag. 435 *Εὐχὴ ἑτέρα εἰς τὴν ὑπεραγίαν θεοτόκον, καὶ αὐτὴ κατὰ ἀλφάβητον δίστιχον.*

Ἀναμέλπω τὴν χάριν σου, δέσποινα,
δυσωπῶ σε, τὸν νοῦν μου χαρίτωσον.
Βηματίζειν ὀρθῶς με εὐόδωσον
τὰς ὁδοὺς τῶν Χριστοῦ διατάξεων. ‖
pag. 436 *Γρηγορεῖν με πρὸς ὕμνον ἐνίσχυσον* 5
ῥαθυμίας τὸν ὕπνον διώκουσα.

Δεδεμένον σειραῖς ὀφλημάτων μου
ἱκεσίαις σου λῦσον, θεόνυμφε.
Ἐν νυκτὶ καὶ ἡμέρᾳ με φρούρησον
πολεμίων ἐχθρῶν λυτρουμένη με. 10
Ζωοδότην θεὸν ἡ κυήσασα
νεκρωθέντα με πάθεσι ζώωσον.
Ἡ τὸ φῶς τὸ ἀνέσπερον τέξασα
τὴν ψυχήν μου τυφλώττουσαν φώτισον. ‖
pag. 437 Θαυμαστὸν τοῦ δεσπότου παλάτιον, 15
οἶκον πνεύματος θείου με ποίησον.
Ἰατρὸν ἡ τεκοῦσα, ἰάτρευσον
τῆς ψυχῆς μου τὰ πάθη, σοῦ δέομαι.
Κυματούμενον βίου τῷ κλύδωνι
μετανοίας πρὸς τρίβους με ἴθυνον. 20
Λύτρωσαί με πυρὸς αἰωνίζοντος,
τοῦ βρυγμοῦ τῶν ὀδόντων καὶ σκώληκος.
Μή με δείξῃς δαιμόνων ἐπίχαρμα,
τὸν πολλαῖς ἁμαρτίαις ὑπεύθυνον. ‖
pag. 438 Νεοποίησόν με παλαιούμενον 25
ἀθεμίτοις, πανάμωμε, πταίσμασι.
Ξένον πάσης κολάσεως δεῖξόν με
καὶ τῷ πάντων δεσπότῃ οἰκείωσον,
Ὅπως χαίρων δοξάζω, πανάμωμε,
τὸν ἐκ σοῦ σαρκωθέντα θεάνθρωπον. 30
Παναγία παρθένε, ἐπάκουσον
τῆς φωνῆς τοῦ ἀχρείου οἰκέτου σου.
Ῥεῖθρα δός μοι δακρύων, πανάχραντε,
τῆς ψυχῆς μου τὸν ῥύπον καθαίροντα. ‖
pag. 439 Στεναγμοὺς ἐκ καρδίας προσφέρειν σοι 35
ἀεννάως εὐόδωσον, δέσποινα.
Τὴν οἰκτρὰν ἱκεσίαν μου πρόσδεξαι
καὶ θεῷ τῷ εὐσπλάγχνῳ προσάγαγε.
Ὑπηρέτην γενέσθαι ἀξίωσον
τοῦ υἱοῦ καὶ θεοῦ σου, παντάνασσα. 40
Φωτοφόρε σκηνή, ἐνσκηνῶσαί μοι
τὴν τοῦ πνεύματος χάριν ἀπέργασαι.
Χεῖρας αἴρω καὶ χείλη πρὸς αἴνεσιν·
μολυνθέντα καθάρισον, ἄσπιλε. ‖
pag. 440 Ψυχοφθόρων σφαλμάτων με λύτρωσαι 45
τὸν Χριστὸν ἐκτενῶς ἱκετεύουσα,

35 προφέρειν B 2 b 2

Ὧι τιμὴ καὶ προσκύνησις πρέπ' ἀεὶ
εἰς αἰῶνας αἰώνων ἀένναος.

---

47 *πρέπει* B 2 b 2 ‖ Post finem: *Τέλος τῆς ἀλφαβήτου εὐχῆς τῆς ὑπεραγίας θεοτόκου* B 2.

Athous 4321 (B 2)

II 8.

pag. 433 *Εὐχὴ κατανυκτικὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον· κατὰ ἀλφάβητον.*

Ἄχραντε, πανάσπιλε, σεμνὴ παρθένε,
Βασιλέα τέξασα, θεὸν καὶ Λόγον,
Γένους τῶν βροτῶν ἀρραγὴς προστασία,
Δῶρον οὖσα μέγιστον τῶν ὀρθοδόξων,
Ἔμψυχε ναὲ τοῦ θεοῦ, ζῶντος Λόγου, 5
Ζώωσον κἀμοῦ τὴν ψυχὴν νεκρωθεῖσαν
Ἡδοναῖς ἀτόποις τε καὶ ψυχοφθόροις.
Θαυμαστὸν παλάτιον τοῦ βασιλέως,
Ἱλασμὸς πιστῶν καὶ ἀντίληψις κόσμου ‖
pag. 434 *Καὶ καταφυγὴ τῶν εἰς σὲ προστρεχόντων,* 10
Λυχνία φωτὸς τοῦ ἀδύτου καὶ θείου,
Μαρία θεόνυμφε, παντὸς κυρία,
Νοός μου διάλυσον τὴν σκοτομήνην,
Ξένον δέ με ποίησον τοῦ ἀλλοτρίου
Ὁλικῶς αὐτοῦ τῇ κακίᾳ πραθέντα· 15
Παῦσον τοὺς πολλοὺς στεναγμοὺς τῆς ψυχῆς μου·
Ῥῆξον τὰς σειρὰς τῶν κακῶν μου, παρθένε,
Σάλῳ κινδυνεύοντος παθῶν ποικίλων·
Τὰς οὐλὰς ἀφάνισον, τὰς τῆς ψυχῆς μου· ‖
pag. 435 *Ὑπὸ γὰρ τὴν σὴν ἀρρωγὴν καταφεύγω.* 20
Φαεινὴ παστὰς τοῦ ἀφθάρτου νυμφίου,
Χάριν τὴν ἀένναον ἡ τετοκυῖα,
Ψυχήν μου ἀπάλλαξον παντοίας βλάβης,
Ὦ μῆτερ θεοῦ παντευλόγητε μόνη.

Belgrad. **D. N. Anastasijewić.**

Γεωργίου ἐπισκόπου Ναξίας λόγοι δύο.

Μιχαὴλ Λέκιεν ἐν τοῖς ἐπισκόποις Ναξίων ἀναγράφει καὶ Γεώργιον τὸν παρακαθίσαντα ἐν τῇ ἕκτῃ οἰκουμενικῇ συνόδῳ[1]*, τρίτῃ ἐν Κωνσταντινουπόλει, τῇ γεγονυίᾳ ἔτει* 680, *ἐν ᾗ ὑπέγραψε „Γεώργιος ἐλέῳ Θεοῦ ἐπίσκοπος Ναξίας τῆς νήσου ὁρίσας ὑπέγραψα εἰς τὴν ἁγίαν καὶ οἰκουμενικὴν τρίτην τὴν ἐν Κωνσταντινουπόλει σύνοδον".*[2] *Ἐν τοῖς συγγραφεῦσι τοῦ ἑβδόμου αἰῶνος ἀναγράφει τὸν Γεώργιον Ἀλβέρτος Ἐρχᾶρδος.*[3] *Τοῦ Γεωργίου λόγοι δύο ἐσώθησαν, ὧν ὁ μὲν φέρει ἐπιγραφὴν „Γεωργίου ἐπισκόπου Ναξίας περὶ τοῦ κατ' εἰκόνα Θεοῦ πλασθέντος ἀνθρώπου".*[4] *ὁ δὲ „Τοῦ ἁγιωτάτου Γεωργίου ἐπισκόπου Ναξίας ἐγκώμιον εἰς τὸν ὅσιον καὶ θεοφόρον καὶ ἐν ἀσκηταῖς πρώτιστον πατέρα ἡμῶν Ἀντώνιον τὸν μέγιστον καὶ εἰς τὸ θαῦμα τὸ γενόμενον ἐν Ῥόδῳ ὑπ' αὐτοῦ".*[5] *Τούτων τοῦ μὲν πρώτου λόγου κεῖται ἀντίγραφον ἐν τῷ ὑπ' ἀριθμῷ γ'* (*φύλ.* 286ª—287ᵇ) *χειρογράφῳ τεύχει, γραφέντι πιθανῶς πεντεκαιδεκάτῳ αἰῶνι, ἀποκειμένῳ ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν Κωνσταντινουπόλει Ἑλληνικοῦ φιλολογικοῦ συλλόγου, ἀνήκοντι Διονυσίῳ σακελλαρίῳ τῆς μητροπόλεως Ῥόδου καὶ Καρπάθου, καὶ οὗ ἀντίγραφον ἔπεμψέ μοι ὁ Ξενοφῶν Σιδερίδης· τοῦ δὲ κεῖνται ἀντίγραφα δύο, τὸ μὲν ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν Ἄθῳ τῷ ὄρει μοναστηρίου Γρηγορίου ἐν τῷ ὑπ' ἀριθμῷ κζ' χειρογράφῳ τεύχει γραφέντι τεσσαρακαιδεκάτῳ αἰῶνι, καὶ οὗ ἀντίγραφον ἔλαβον φροντίδι Ἱεροθέου Φλωρίδου βιβλιοφύλακος τῆς βιβλιοθήκης τοῦ ἐν τῇ νήσῳ Πάτμῳ μοναστηρίου ἁγίου Ἰωάννου τοῦ Θεολόγου· τὸ δ' ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν Ἄθῳ τῷ ὄρει μοναστηρίου Παντελεήμονος ἐν τῷ ὑπ' ἀριθμῷ ψμε'* (*φύλ.* 54ª) *χειρογράφῳ τεύχει ἀντεγράφη ἐκ τοῦ εἰρημένου χειρογράφου τεύχους τῆς βιβλιοθήκης Γρηγορίου ὑπ' ἀριθμῷ κζ'.*

---

1) Oriens Christianus, Parisiis, 1740, tom. I, col. 938.

2) Philippi Labbei et Gaspari Cossarti Sacrosancta concilia ad regiam editionem exacta., Venetiis, 1729, tom. VII, col. 1077.

3) *Παρὰ* Krumbacher, Geschichte der Byzantinischen Literatur², München, 1897, S. 192.

4) *Ἀ. Παπαδοπούλου Κεραμέως Κατάλογος τῶν ἐν τῷ Ἑλληνικῷ φιλολογικῷ συλλόγῳ χειρογράφων βιβλίων, ἐν Παραρτήματι τοῦ κ'—κβ' τόμου τοῦ περιοδικοῦ τοῦ ἐν Κωνσταντινουπόλει Ἑλληνικοῦ φιλολογικοῦ συλλόγου, ἐν Κωνσταντινουπόλει,* 1892, *σ.* 78.

5) *Σπ. Π. Λάμπρου Κατάλογος τῶν ἐν ταῖς βιβλιοθήκαις τοῦ Ἁγίου ὄρους ἑλληνικῶν κωδίκων, τόμ. α', σ.* 47. *τόμ. β', σ.* 424.

Τὸν βίον Ἀντωνίου τοῦ μεγάλου ἔγραψεν Ἀθανάσιος ὁ ἅγιος ἀρχιεπίσκοπος Ἀλεξανδρείας.[1]) Λόγον δ' εἰς τὸν μέγαν Ἀντώνιον ἔγραψε Μακάριος διδάσκαλος τοῦ ἐν Πάτμῳ σχολείου.[2]) Περὶ τοῦ γεγονότος θαύματος ἐν Ῥόδῳ παρὰ τῆς εἰκόνος Ἀντωνίου τοῦ μεγάλου οὐδὲν εἶναι γνωστὸν οὐ μόνον τῇ ἐκκλησίᾳ, ἀλλ' οὐδὲ καὶ ἐν αὐτῇ τῇ Ῥόδῳ ἐξ ὅσων ἠρεύνησα περὶ τούτου ἐπισκεψάμενος τὴν νῆσον. Δυοῖν θάτερον ἢ Ἀντώνιον τὸν μέγαν ἐπὶ τοσοῦτον ἐσέβετο ὁ Γεώργιος ὥστε ἐν λόγῳ νὰ ἀπομνημονεύσῃ τὸ γενόμενον ὑπ' αὐτοῦ θαῦμα ἐν Ῥόδῳ, ἢ ὁ ἀνὴρ Ῥόδιος ὢν ἀπεμνημόνευσεν ἐν λόγῳ τὸ γενόμενον παρὰ τοῦ Ἀντωνίου θαῦμα ἐν τῇ πατρίδι αὐτοῦ· ἐκ τῶν λόγων δὲ τοῦ Γεωργίου ἐξάγομεν ὅτι ὁ ἀνὴρ οὐ μόνον τῶν Γραφῶν ἦν ἔμπειρος ἀλλὰ καὶ τοῦ Ἕλληνος λόγου. Τὸν ἕτερον τῶν λόγων καταφανῶς συνέταξε καὶ ἀπήγγειλεν ὁ Γεώργιος λαβὼν ἀφορμὴν ἐξ ἐπιχωριαζούσης ἐκλύσεως τῶν ἠθῶν ὡς πρὸς τὰ τοῦ γάμου. Ἐνέχουσι δ' οἱ λόγοι τοῦ Γεωργίου ἠθικὴν διδασκαλίαν.

Ἐν Δ ε λ λ α γ ρ ά τ σ ι ᾳ Σ ύ ρ ο υ. **Περικλῆς Γ. Ζερλέντης.**

Α'

Γεωργίου ἐπισκόπου Ναξίας
Περὶ τοῦ κατ' εἰκόνα Θεοῦ πλασθέντος ἀνθρώπου.

Αὐτὸς εἶπε καὶ ἐγεννήθησάν, φησιν, ὁ Δαυΐδ· αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν· αὐτὸς ποῖος; ὁ τῶν ὅλων Θεός· ὁ μόνος κραταιὸς καὶ δυνάστης· ὁ ἦν καὶ ὁ ὢν καὶ ὁ ἐρχόμενος· τί δὲ εἶπε καὶ ἐγεννήθησαν; τοῦ σοφοῦ Μωϋσέως ἄκουε· ε ἶ π ε ν ὁ Θ ε ό ς· γ ε ν ν η θ ή τ ω φ ῶ ς· κ α ὶ ἐ γ έ ν ε τ ο φ ῶ ς· ἐνετείλατο καὶ ἐκτίσθησαν ὄρη καὶ βουνοί· πεδία καὶ φάραγγες· ε ἶ π ε ν· ἐ ξ α γ α γ έ τ ω τ ὰ ὕ δ α τ α π ε τ ε ι ν ὰ ψ υ χ ῶ ν ζ ω σ ῶ ν· ἡ δ ὲ γ ῆ ἐ ξ α γ α γ έ τ ω ψ υ χ ὴ ν ζ ῶ σ α ν κ α τ ὰ γ έ ν ο ς, τ ε τ ρ ά π ο δ α κ α ὶ ἑ ρ π ε τ ὰ κ α ὶ θ η ρ ί α· καὶ ἐγένετο οὕτως· ἐπὶ δὲ τῇ τοῦ ἀνθρώπου πλάσει, οὐχ οὕτως. Ἀλλ' ε ἶ π ε ν ὁ Θ ε ό ς, π ο ι ή σ ω μ ε ν ἄ ν θ ρ ω π ο ν κ α τ' ε ἰ κ ό ν α ἡ μ ε τ έ ρ α ν κ α ὶ κ α θ' ὁ μ ο ί ω σ ι ν· κ α ὶ ἀ ρ χ έ τ ω σ α ν τ ῶ ν ἰ χ θ ύ ω ν τ ῆ ς θ α λ ά σ σ η ς, κ α ὶ τ ῶ ν π ε τ ε ι ν ῶ ν τ ο ῦ ο ὐ ρ α ν ο ῦ, κ α ὶ τ ῶ ν κ τ η ν ῶ ν, κ α ὶ π ά σ η ς τ ῆ ς γ ῆ ς· κ α ὶ ἐ π ο ί η σ ε ν ὁ Θ ε ὸ ς τ ὸ ν ἄ ν θ ρ ω π ο ν, κ α τ' ε ἰ κ ό ν α Θ ε ο ῦ ἐ π ο ί η σ ε ν α ὐ τ ό ν· ἄ ρ σ ε ν κ α ὶ θ ῆ λ υ ἐ π ο ί η σ ε ν α ὐ τ ο ύ ς· κ α ὶ ε ὐ λ ό γ η σ ε ν α ὐ τ ο ὺ ς ὁ Θ ε ό ς, λ έ γ ω ν· α ὐ ξ ά ν ε σ θ ε κ α ὶ

1) S. Antonii abbatis vita, ἐν Migne Patr. gr., tom. XL, col. 957—60.

2) Εὐαγγελικὴ σάλπιγξ συντεθεῖσα παρὰ τοῦ σοφωτάτου κυρίου Μακαρίου τοῦ ποτὲ χρηματίσαντος τῆς ἐν Πάτμῳ σχολῆς ἱεροδιδασκάλου, ἐκδ. Σταματίου Νικολαΐδου, ἐν Ἀθήναις, 1867, σ. 313—320.

6 ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, Γεν. α', 20 14 καὶ ηὐλόγησεν αὐτοὺς ὁ Θεός, Γεν. α', 28.

15 πληθύνεσθε. Εἰ οὖν ὁ Θεὸς κατ' εἰκόνα ἑαυτοῦ δημουργεῖ τὸν ἄνθρωπον ἄρσεν καὶ θῆλυ, καὶ εὐλογεῖ τὸν ἄνθρωπον ἄρσεν καὶ θῆλυ, καὶ εὐλογεῖ αὐτοὺς λέγων· αὐξάνεσθε καὶ πληθύνεσθε, τίς εἶ σύ, ὦ ἄνθρωπε, οὔτε ἀνταποκρινόμενος τῷ Θεῷ, καὶ ἐντρεπόμενος τὸν νόμιμον γάμον; ἡ γὰρ εὐλόγησις ἡ τοῦ ἱερέως τοῖς νεονύμφοις, ἀντὶ τῆς
20 εὐλογίας γίνεται, ἧς εὐλογήθη ὁ Ἀδὰμ μετὰ τῆς Εὔας παρὰ Θεοῦ· τί δὲ τὰ στέφανα εἰκονίζουσιν, ἀλλ' ἢ δόξαν καὶ τιμὴν τοῖς νεονύμφοις; καὶ τίμιον δεικνῦσι τὸν γάμον καὶ τὴν κοίτην ἀμίαντον· καὶ ὅρα μοι συνετῶς. Περὶ μὲν γὰρ πάντων τῶν ἐν γῇ καὶ ἐν τῇ θαλάσσῃ εἶπε καὶ ἐγεννήθησαν λέγει· περὶ δὲ τοῦ ἀνθρώπου οὐ λέγει ὅτι εἶπε καὶ
25 ἐγένετο ἄνθρωπος· ἀλλὰ μέγα δείκνυσι ποίημα τοῦτον· τίμιόν τε καὶ οἰκειότατον· λέγει γάρ, καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· ἤδη, ἀγαπητέ, πῶς τὸ κατ' εἰκόνα ἑαυτοῦ ἄρσεν καὶ θῆλυ ἐποίησεν, οὐκοῦν λοιπὸν ὁ πλάσας καὶ ποιήσας τὸν ἄνθρωπον αὐτὸς καὶ τὴν
30 γυναῖκα ἐποίησε· καὶ κατ' εἰκόνα ἑαυτοῦ καὶ ταύτην ἐποίησε· δυϊκῶς γάρ, φησιν, ὅτι κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτούς· ἵνα τί τοὺς κατ' εἰκόνα ἑαυτοῦ γεγονότας ἄρσεν καὶ θῆλυ ποιεῖ καὶ εὐλογεῖ τούτους λέγων, αὐξάνεσθε καὶ πληθύνεσθε, ἢ ἄλλο, εἰμὴ ἵνα διὰ τῆς ἑνώσεως καὶ τῆς συναφείας τὸ γένος συνιστῆται τὸ ἀνθρώπινον; ἄφελε γὰρ τὸν
35 γάμον· καὶ πάντη τὸ πλάσμα ἐξήλειπται· διὰ τοῦτο ὁ γάμος χρήσιμος τῷ ἀνθρωπίνῳ γένει· ἵνα πληρῶται ἡ τοῦ δεσπότου φωνὴ ἡ λέγουσα αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς. Ὢ τῆς τοῦ δεσπότου τιμῆς ἧς ἠξίωμαι· ὅτι καὶ ἐνεφύσησε λέγει καὶ δέδωκέ μοι ψυχὴν ζῶσαν· καὶ ἄρχοντα τῶν
40 γενομένων κατέστησέ με ἐν γῇ τε καὶ ἐν θαλάσσῃ· ὁρᾷς πῶς πάντα τίμια καὶ ἔνδοξα τὰ τῆς πλάσεως; τὸ τοῦ ἐμφυσήματος, τὸ κατ' εἰκόνα, καὶ ὅτι πάντα τὰ ἐν τῇ θαλάσσῃ καὶ τὰ ἐν τῇ γῇ, ὡς δοῦλα ἐγένετο καὶ πολλά· ὁ δὲ ἄνθρωπος ὡς τίμιόν τι κτῆμα καὶ βασιλεῦον, εἷς ἐπλάσθη παρὰ τοῦ Θεοῦ, καὶ μία γυνὴ ἐδόθη αὐτῷ. Ἐπεὶ οὖν, ὦ
45 ἄνθρωπε, κατ' εἰκόνα ἐπλάσθης Θεοῦ, αἰδέσθητι τὸ πρωτότυπον· αἰδέσθητι τὸν ἐμφυσήσαντά σε καὶ ψυχὴν δωρησάμενον, καὶ μίαν ἔχε γυναῖκα, καὶ μὴ τοῖς ἀλόγοις ἐξομοιοῦ· ὁ γὰρ πορνεύων καὶ μοιχεύων τούτοις ὡμοίωται· καὶ ἐξέστη πάντη τοῦ εἶναι ἄνθρωπος· καὶ τί λέγω ὅτι ἐξομοιοῦται ἀλόγοις, ὅτι καὶ πέρα τούτων ἐστίν· αὐτὰ γὰρ οὐκ
50 ἔσχον νόμον, οὐδὲ ἓν ζεῦγος ἐποίησεν ὁ Θεὸς ἐν τῷ γένει αὐτῶν, ἀλλὰ πολλά, ἵνα ἀλλήλοις συνευνάζωνται εἰς τὸ πληθύνεσθαι, οἷον ἂν θῆλυ τὸ ἄρσεν εὕρῃ· ἐπὶ δὲ τοῦ ἀνθρώπου οὐχ οὕτως ἐγένετο, ἀλλὰ εἷς

18 ὁ ἀνταποκρινόμενος τῷ Θεῷ 22 δεικνύουσι 34 συνίσταται 36 πληροῦται 42 ἐγένοντο

ἀνὴρ καὶ μία γυνὴ γέγονεν, ἵνα εἷς ἕκαστος τῶν γενομένων τὴν ἰδίαν γυναῖκα ἔχῃ, ἄλλην δὲ οὐχί· ἔτι δὲ βλέπομεν καὶ ἐν τοῖς ἀλόγοις τὸν τῶν ἀνθρώπων ὅρον φυλάσσοντα, καὶ τὸν ἄρσενα ἔχοντα τὸ ἴδιον 55 θῆλυ, οἷαι ἡ περιστερὰ καὶ ἡ τρυγών. Φρίξον οὖν, ἄνθρωπε, καὶ συντρόμαξον ὅτι καὶ τοῖς ἀλόγοις ὑπερῆρας τῇ ἀφροσύνῃ· καὶ πῶς τολμᾷς λέγειν· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς; ὅτι τῆς υἱοθεσίας ἐξώθησας σεαυτόν· τοῖς γὰρ φυλάσσουσι τὸ κατ' εἰκόνα εἴρηται, ὅτι ἔσομαι ὑμῖν εἰς πατέρα καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας· 60 τοῖς δὲ πόρνοις καὶ μοιχοῖς εἴρηται· ὅτι ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκεν, ἀλλὰ παρεσυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς, ὅτι πρὸς τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐχρεμέτισεν.

Ὁ δὲ θεῖος Παῦλος κελεύει ἡμᾶς μηδὲ συνεσθίειν τῷ τοιούτῳ. Ἐννόησον οὖν, ὦ ἄνθρωπε, ὅσος ἐστὶν ὁ μιασμός, ὅτι μηδὲ συγχρᾶσθαι 65 τούτοις ἐγκελευόμεθα· καὶ δικαίως· εἰ γὰρ ὁ νόμος ὁ παλαιὸς κολάζει τούτους, ὁ δὲ Χριστὸς πλήρωμα νόμου ἐστὶ καὶ οὐχὶ κατάλυσις ὡσεὶ μιᾶς ι ἢ κεραίας, ὡς τὰ θεῖα αὐτοῦ ἡμᾶς ἐκδιδάσκουσι λόγια καὶ βλέμμα πρὸς ἀλλοτρίαν μὴ συνιστάναι, πῶς οὐκ ἔσται ἀκάθαρτος καὶ ξένος ἀπὸ Χριστοῦ ὁ ἀντὶ τοῦ εἶναι μέλος Χριστοῦ, τῇ πόρνῃ κολλώμενος 70 καὶ ἓν μέλος μετ' αὐτῆς γενόμενος; πόρνη γάρ ἐστι πᾶσα ἡ ἀνόμως συναπτομένη, καὶ οὐ σῶμα Χριστοῦ ἐστίν· οὐδὲ μέλος Χριστοῦ· ὁ πορνεύων, οὐδὲ μετὰ Χριστοῦ ἐστίν, ἀλλὰ κατὰ Χριστοῦ· καὶ ψεύδεται ὁ τοιοῦτος λέγων χριστιανὸν ἑαυτόν, καὶ δικαίως ἀπείργεται παρὰ τοῦ θείου Παύλου συνεσθίειν χριστιανοῖς· ὅτι τὴν κλῆσιν τοῦ Χριστοῦ 75 κενὴν εἰς ἑαυτὸν περιφέρει, καὶ ἐξέστη πάντη τοῦ εἶναι ἄνθρωπος, καὶ ἀλόγοις ἐξωμοιώθη, καὶ οὐδὲ ζῴοις εὐχρήστοις τοῖς προρρηθεῖσιν, οἷον δὴ λέγω τρυγόνας τε καὶ περιστεράς, ἀλλὰ ζῴοις ἀχρήστοις, χοίροις δὴ λέγω καὶ κυσὶ καὶ ὄνοις. Διατὶ δὲ οὐ πάντα τὰ ζῷα τὴν αὐτὴν φυλάττει τάξιν, ἀλλὰ τὰ μὲν πρὸς ἄλληλα συνευνάζεται· τὰ δέ, ὥσπερ αἱ 80 τρυγόνες καὶ αἱ περιστεραί, φυλάττει τὴν ἑαυτῶν κοίτην ἐν τάξει καλῇ; εἰς ἔλεγχον καὶ κατάκρισιν ἡμῶν τοῦτο γίνεται τῶν λόγῳ τιμηθέντων καὶ ἐν εἰκόνι Θεοῦ πλασθέντων, ἵνα κἂν διὰ τούτων παιδαγωγώμεθα, αἰδεσθέντες τὸ κατ' εἰκόνα· διατί δὲ καὶ ἡμεῖς οὕτως ἐγενόμεθα, ὥστε ὀρέγεσθαι κοίτην τὴν οὐκ ἰδίαν; ὅτι παρὰ τοῦ Θεοῦ εὐεργεσίαν λαβόν- 85 τας τοῦ εἶναι καὶ λέγεσθαι ἀνθρώπους καὶ εἰκόνα Θεοῦ, καὶ γινώσκειν καλὸν καὶ πονηρόν, ἀφῆκεν ἡμᾶς ὁ Θεὸς καὶ ὀρέγεσθαι καὶ πειράζεσθαι καὶ ἐκτρέπεσθαι τὸ κακὸν μετὰ βίας, ἵνα μισθοῦ πρόξενος γένηται ὁ πειρασμὸς εἰς ἡμᾶς· ὅπως ἀποστυγοῦντες τὸ πονηρόν· καὶ κολ-

---

56 ἢ ὡς ἡ περιστερά 69 συνιστᾶν 80 συνευνάζονται ἢ ὡς αἱ τρυγόνες 86 ἄνθρωπος καὶ εἰκὼν Θεοῦ 89 τῷ πονηρῷ· (ὅπως ἀποστυγοῦντες τὸ πονηρόν, Παύλ. Ρωμ. 12, 9).

90 λώμενοι τῷ ἀγαθῷ, τὸν μισθὸν ἀπολαύωμεν· εἰ δὲ προτιμήσομεν τὴν ἰδίαν ὄρεξιν ὑπὲρ τοῦ ἀγαθοῦ κατακριθείημεν δικαίως, ὥσπερ καὶ ἐπὶ τοῦ Ἀδὰμ ἐγεγόνει. Καὶ μὴ μεμφέτω τις τὸν Ἀδὰμ ὡς παραβάντα καὶ ἐξωσθέντα, ὅτι καὶ ἕκαστος ἡμῶν πάσχει ταῦτα καθ' ἑκάστην, καὶ παραβαίνει καὶ κατακρίνεται· καὶ γὰρ πάντα εἰς νουθεσίαν ἡμῶν γέ-
95 γραπται. Δεῖ δὲ εἰδέναι καὶ τοῦτο, ὅτι ὁ Ἀδὰμ οὐκ οἶδέ τινα παραβάντα καὶ κατακριθέντα ὅπως αὐτὸς φυλάττῃ τὰ προσταχθέντα· ἡμεῖς δὲ μυρία τὰ ὑποδείγματα ἔχοντες καὶ μὴ βελτιούμενοι ποίαν ἕξομεν τὴν ἀπολογίαν; διατί δὲ τὰ ἄλογα ζῷα οὐ συνευνάζεται μετὰ τὸ συλλαβεῖν, ἡ δὲ λογικὴ φύσις ζητεῖ εὐνήν; ὅτι μίαν γυναῖκα καὶ ὁ Θεὸς
100 ἐκέλευσεν ἔχειν ἕκαστον τῶν ἀνθρώπων. Ἵνα οὖν τὰς ἐπιθυμίας ἁπάσας μετ' αὐτῆς καταστέλλῃ, καὶ μὴ ζητῇ ἄλλην, ἵνα μὴ μιάνῃ τὸ κατ' εἰκόνα, διὰ τοῦτο ἡ πρόνοια τοῦ Θεοῦ εὐδόκησεν οὕτω γενέσθαι. Ἐπεὶ γάρ, ὡς ἔφημεν, τὰ ἄλογα ὡς δοῦλα εἰς χρείαν τοῦ ἀνθρώπου γενόμενα λόγῳ μόνῳ παρήχθησαν καὶ πολλὰ ἐγένετο, νόμος αὐτοῖς οὐκ ἐδόθη,
105 ἀλλὰ πρὸς ἄλληλα συνευνάζεσθαι ἀφείθη ὡς βούλονται· ἐδόθη τούτοις τὸ μὴ εὐνὴν ζητεῖν ἐγκυμονοῦντα ἕως ἂν γεννήσωσιν· ὁ δὲ ἄνθρωπος ἐπεὶ τίμιον κτῆμα ἐγένετο καὶ κατ' εἰκόνα ἐπλάσθη χειρὶ Θεοῦ τιμηθείς, καὶ ψυχὴ ἀθάνατος ἐδόθη αὐτῷ, ἵνα μὴ ἐν ἄλλῃ κοίτῃ μιαίνηται, διὰ τοῦτο δεδώρηται τῇ γυναικὶ καὶ ἐγκυμονούσῃ, συνευνάζεσθαι
110 μετὰ τοῦ ἀνδρὸς αὐτῆς. Ταῦτ' οὖν εἰδότες, ὦ ἄνθρωποι, αἰδεσθῶμεν τὸ κατ' εἰκόνα, ἔτι δὲ καὶ τὴν φύσιν αὐτήν· αἰδεσθῶμεν τὴν ψυχὴν τὴν ἀθάνατον, καὶ μὴ μιαίνωμεν ἑαυτούς· ὅτι διὰ τῆς σαρκὸς τῆς θνητῆς συμμιαίνεται καὶ ἡ ἀθλία ψυχὴ καὶ κολάζεται αἰωνίως· καὶ τί ἡμῶν ὄφελος διὰ πρόσκαιρον ἡδονὴν τῆς σαρκὸς κολάζεσθαι αἰωνίως
115 σὺν τῇ ψυχῇ; Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε καὶ τὸ πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ἡμῖν, φησὶν ὁ θεῖος Παῦλος· καὶ πάλιν, οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματός ἐστιν οὗ ἔχετε ἀπὸ Θεοῦ; καὶ πάλιν· ὑμεῖς ἐστὲ σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους· μὴ οὖν ποιῶμεν τὰ μέλη τοῦ Χριστοῦ πόρνης μέλη, ἀλλὰ φυλάξωμεν
120 αὐτὰ καθαρὰ ἐν Χριστῷ, ἵνα ἐλθὼν ὁ Χριστὸς ἀγαπήσῃ τὰ μέλη ἐν δόξῃ τὰ ἑαυτοῦ, καὶ εἰς τὴν βασιλείαν εἰσδέξηται ἑαυτοῦ καὶ ἀγαλλιασώμεθα αἰωνίως μετὰ τῶν ἀγγέλων χορεύοντες καὶ δόξαν ἄληκτον προσφέροντες τῷ εὐεργέτῃ Θεῷ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

---

91 κατακριθῶμεν 98 συνευνάζωνται 104 ἐγένοντο 106 ἐγγυούσας
109 ἐγγυμονούσῃ

B

Τοῦ ἁγιωτάτου Γεωργίου ἐπισκόπου Ναξίας

Ἐγκώμιον εἰς τὸν ὅσιον καὶ θεοφόρον καὶ ἐν ἀσκηταῖς πρώτιστον πατέρα ἡμῶν Ἀντώνιον τὸν μέγιστον, καὶ εἰς τὸ θαῦμα τὸ γενόμενον ἐν Ῥόδῳ ὑπ' αὐτοῦ.

